# Πρὸς Ἑβραίους

Πολυμερῶς[1] καὶ πολυτρόπως[2] πάλαι[3] ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν 1
τοῖς προφήταις, ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν
υἱῷ, ὃν ἔθηκεν κληρονόμον[4] πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, 2
ὃς ὢν ἀπαύγασμα[5] τῆς δόξης καὶ χαρακτὴρ[6] τῆς ὑποστάσεως[7] αὐτοῦ, 3
φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾽ ἑαυτοῦ
καθαρισμὸν[8] ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ
τῆς μεγαλωσύνης[9] ἐν ὑψηλοῖς,[10] τοσούτῳ[11] κρείττων[12] γενόμενος τῶν 4
ἀγγέλων, ὅσῳ διαφορώτερον[13] παρ᾽ αὐτοὺς κεκληρονόμηκεν[14] ὄνομα.
Τίνι γὰρ εἶπέν ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον 5
γεγέννηκά σε; Καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς
ἔσται μοι εἰς υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ[15] τὸν πρωτότοκον[16] εἰς 6
τὴν οἰκουμένην[17] λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι θεοῦ. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς 7
ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς[18] αὐτοῦ πυρὸς
φλόγα:[19] πρὸς δὲ τὸν υἱόν, Ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ 8
αἰῶνος: ῥάβδος[20] εὐθύτητος[21] ἡ ῥάβδος[20] τῆς βασιλείας σου. 9
Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν:[22] διὰ τοῦτο ἔχρισέν[23]

[1] πολυμερῶς, in various parts, in many parts. [2] πολυτρόπως, in many ways. [3] πάλαι, long ago, of old. [4] κληρονόμος, ου, ὁ, heir, inheritor. [5] ἀπαύγασμα, τος, τό, radiance, effulgence. [6] χαρακτήρ, ῆρος, ὁ, impress, exact representation. [7] ὑπόστασις, εως, ἡ, substance, confidence. [8] καθαρισμός, οῦ, ὁ, cleansing, purification. [9] μεγαλωσύνη, ης, ἡ, greatness, majesty. [10] ὑψηλός, high, lofty. [11] τοσοῦτος, so great, so much. [12] κρείττων, stronger, more excellent. [13] διάφορος, various, different. [14] κληρονομέω, inherit, obtain. [15] εἰσάγω, lead in, bring in. [16] πρωτότοκος, first-born. [17] οἰκουμένη, ης, ἡ, inhabited world. [18] λειτουργός, οῦ, ὁ, minister, servant. [19] φλόξ, φλογός, ἡ, flame. [20] ῥάβδος, ου, ἡ, staff, rod. [21] εὐθύτης, ητος, ἡ, righteousness, uprightness. [22] ἀνομία, ας, ἡ, lawlessness, iniquity. [23] χρίω, anoint.

σε ὁ θεός, ὁ θεός σου, ἔλαιον[1] ἀγαλλιάσεως[2] παρὰ τοὺς μετόχους[3] σου.
Καί, Σὺ κατ᾽ ἀρχάς, κύριε, τὴν γῆν ἐθεμελίωσας,[4] καὶ ἔργα τῶν 10
χειρῶν σού εἰσιν οἱ οὐρανοί: αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις:[5] καὶ 11
πάντες ὡς ἱμάτιον παλαιωθήσονται,[6] καὶ ὡσεὶ περιβόλαιον[7] ἑλίξεις[8] 12
αὐτούς, καὶ ἀλλαγήσονται:[9] σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ
ἐκλείψουσιν.[10] Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε, Κάθου ἐκ 13
δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον[11] τῶν ποδῶν σου;
Οὐχὶ πάντες εἰσὶν λειτουργικὰ[12] πνεύματα, εἰς διακονίαν 14
ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν[13] σωτηρίαν;

Διὰ τοῦτο δεῖ περισσοτέρως[14] ἡμᾶς προσέχειν[15] τοῖς ἀκουσθεῖσιν, **2**
μήποτε[16] παραρρυῶμεν.[17] Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος 2
ἐγένετο βέβαιος,[18] καὶ πᾶσα παράβασις[19] καὶ παρακοὴ[20] ἔλαβεν
ἔνδικον[21] μισθαποδοσίαν,[22] πῶς ἡμεῖς ἐκφευξόμεθα[23] τηλικαύτης[24] 3
ἀμελήσαντες[25] σωτηρίας; Ἥτις, ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ
κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη,[26] 4
συνεπιμαρτυροῦντος[27] τοῦ θεοῦ σημείοις τε καὶ τέρασιν,[28] καὶ
ποικίλαις[29] δυνάμεσιν, καὶ πνεύματος ἁγίου μερισμοῖς,[30] κατὰ τὴν
αὐτοῦ θέλησιν.[31]

[1] ἔλαιον, ου, τό, olive oil. [2] ἀγαλλίασις, εως, ἡ, delight, great joy. [3] μέτοχος, ου, ὁ, partaker, partner. [4] θεμελιόω, lay a foundation, found. [5] διαμένω, remain, continue. [6] παλαιόω, make or become old, obsolete. [7] περιβόλαιον, ου, τό, covering, cloak. [8] ἑλίσσω, roll up, coil. [9] ἀλλάσσω, change, alter. [10] ἐκλείπω, fail, cease. [11] ὑποπόδιον, ου, τό, footstool. [12] λειτουργικός, engaged in special service. [13] κληρονομέω, inherit, obtain. [14] περισσῶς, abundantly, exceedingly. [15] προσέχω, take head of, attend to. [16] μήποτε, never, lest perchance. [17] παραρρέω, be washed away, drift away. [18] βέβαιος, firm, secure. [19] παράβασις, εως, ἡ, going aside, transgression. [20] παρακοή, ῆς, ἡ, disobedience. [21] ἔνδικος, righteous, just. [22] μισθαποδοσία, ας, ἡ, recompense, reward. [23] ἐκφεύγω, flee away, flee out. [24] τηλικοῦτος, so great, so large. [25] ἀμελέω, neglect, be unconcerned. [26] βεβαιόω, confirm, secure. [27] συνεπιμαρτυρέω, bear witness together with. [28] τέρας, ατος, τό, wonder, portent. [29] ποικίλος, varied, manifold. [30] μερισμός, οῦ, ὁ, division, distribution. [31] θέλησις, εως, ἡ, will, willing.

Οὐ γὰρ ἀγγέλοις ὑπέταξεν τὴν οἰκουμένην[1] τὴν μέλλουσαν, περὶ ἧς 5
λαλοῦμεν. Διεμαρτύρατο[2] δέ πού[3] τις λέγων, Τί ἐστιν ἄνθρωπος, ὅτι 6
μιμνῄσκῃ[4] αὐτοῦ; Ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ[5] αὐτόν; 7
Ἠλάττωσας[6] αὐτὸν βραχύ[7] τι παρ' ἀγγέλους: δόξῃ καὶ τιμῇ
ἐστεφάνωσας[8] αὐτόν: πάντα ὑπέταξας ὑποκάτω[9] τῶν ποδῶν αὐτοῦ. 8
Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ
ἀνυπότακτον.[10] Νῦν δὲ οὔπω[11] ὁρῶμεν αὐτῷ τὰ πάντα
ὑποτεταγμένα. Τὸν δὲ βραχύ[7] τι παρ' ἀγγέλους ἠλαττωμένον[6] 9
βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα[12] τοῦ θανάτου δόξῃ καὶ τιμῇ
ἐστεφανωμένον,[8] ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται[13] θανάτου. 10
Ἔπρεπεν[14] γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς
υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν[15] τῆς σωτηρίας αὐτῶν διὰ
παθημάτων[12] τελειῶσαι.[16] Ὅ τε γὰρ ἁγιάζων[17] καὶ οἱ ἁγιαζόμενοι,[17] ἐξ 11
ἑνὸς πάντες: δι' ἣν αἰτίαν[18] οὐκ ἐπαισχύνεται[19] ἀδελφοὺς αὐτοὺς
καλεῖν, λέγων, Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ 12
ἐκκλησίας ὑμνήσω[20] σε. Καὶ πάλιν, Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. 13
Καὶ πάλιν, Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός. Ἐπεὶ[21] οὖν τὰ 14
παιδία κεκοινώνηκεν[22] σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως
μετέσχεν[24] τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ[25] τὸν τὸ
κράτος[26] ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστιν τὸν διάβολον, καὶ 15

[1] οἰκουμένη, ης, ἡ, inhabited world. [2] διαμαρτύρομαι, testify solemnly. [3] πού, somewhere, about. [4] μιμνήσκομαι, remember, recall. [5] ἐπισκέπτομαι, visit, have a care for. [6] ἐλαττόω, make lower, decrease. [7] βραχύς, short, little. [8] στεφανόω, crown, reward. [9] ὑποκάτω, under, below. [10] ἀνυπότακτος, not subject to rule, rebellious. [11] οὔπω, not yet. [12] πάθημα, τος, τό, suffering, passion. [13] γεύομαι, taste, experience. [14] πρέπω, be clearly seen, be fitting. [15] ἀρχηγός, οῦ, ὁ, founder, leader. [16] τελειόω, fill, fulfill. [17] ἁγιάζω, make holy, consecrate. [18] αἰτία, ας, ἡ, cause, reason. [19] ἐπαισχύνομαι, be ashamed, am ashamed. [20] ὑμνέω, sing to, praise. [21] ἐπεί, when, since. [22] κοινωνέω, have a share of, share. [23] παραπλησίως, similarly, likewise. [24] μετέχω, partake of, share in. [25] καταργέω, make ineffective, abolish. [26] κράτος, ους, τό, power, dominion.

ἀπαλλάξῃ[1] τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι[2]
ἦσαν δουλείας.[3] Οὐ γὰρ δήπου[4] ἀγγέλων ἐπιλαμβάνεται,[5] ἀλλὰ 16
σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.[5] Ὅθεν[6] ὤφειλεν κατὰ πάντα 17
τοῖς ἀδελφοῖς ὁμοιωθῆναι,[7] ἵνα ἐλεήμων[8] γένηται καὶ πιστὸς
ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν, εἰς τὸ ἱλάσκεσθαι[9] τὰς ἁμαρτίας τοῦ
λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς 18
πειραζομένοις βοηθῆσαι.[10]

Ὅθεν,[6] ἀδελφοὶ ἅγιοι, κλήσεως[11] ἐπουρανίου[12] μέτοχοι,[13] κατανοήσατε[14] **3**
τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας[15] ἡμῶν Ἰησοῦν χριστόν, 2
πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ
αὐτοῦ. Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται,[16] καθʼ 3
ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας[17] αὐτόν. Πᾶς γὰρ 4
οἶκος κατασκευάζεται[17] ὑπό τινος: ὁ δὲ τὰ πάντα κατασκευάσας[17]
θεός. Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων,[18] 5
εἰς μαρτύριον[19] τῶν λαληθησομένων: χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν 6
οἶκον αὐτοῦ: οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ
καύχημα[20] τῆς ἐλπίδος μέχρι[21] τέλους βεβαίαν[22] κατάσχωμεν.[23] Διό, 7
καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ
ἀκούσητε, μὴ σκληρύνητε[24] τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ 8

[1] ἀπαλλάσσω, leave, deliver. [2] ἔνοχος, involved in, liable. [3] δουλεία, ας, ἡ, slavery, bondage. [4] δήπου, of course, surely. [5] ἐπιλαμβάνομαι, take hold of, seize. [6] ὅθεν, from where, from which. [7] ὁμοιόω, make like, liken. [8] ἐλεήμων, merciful, sympathetic. [9] ἱλάσκομαι, propitiate, expiate. [10] βοηθέω, come to the aid of. [11] κλῆσις, εως, ἡ, (divine) call, invitation. [12] ἐπουράνιος, heavenly, celestial. [13] μέτοχος, ου, ὁ, partaker, partner. [14] κατανοέω, observe, understand. [15] ὁμολογία, ας, ἡ, confession, profession. [16] ἀξιόω, consider worthy. [17] κατασκευάζω, prepare, build. [18] θεράπων, οντος, ὁ, attendant, servant. [19] μαρτύριον, ου, τό, testimony, witness. [20] καύχημα, τος, τό, boasting, ground of boasting. [21] μέχρι, until, as far as (gen). [22] βέβαιος, firm, secure. [23] κατέχω, hold back, hold fast. [24] σκληρύνω, harden.

παραπικρασμῷ,[1] κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ[2] ἐν τῇ ἐρήμῳ, οὗ[3] 9
ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν[4] με, καὶ εἶδον τὰ ἔργα
μου τεσσαράκοντα[5] ἔτη. Διὸ προσώχθισα[6] τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, 10
Ἀεὶ[7] πλανῶνται τῇ καρδίᾳ: αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου: ὡς 11
ὤμοσα[8] ἐν τῇ ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν[9] μου. 12
Βλέπετε, ἀδελφοί, μήποτε[10] ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ
ἀπιστίας[11] ἐν τῷ ἀποστῆναι[12] ἀπὸ θεοῦ ζῶντος: ἀλλὰ παρακαλεῖτε 13
ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρι οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ
σκληρυνθῇ[13] ἐξ ὑμῶν τις ἀπάτῃ[14] τῆς ἁμαρτίας: μέτοχοι[15] γὰρ 14
γεγόναμεν τοῦ χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως[16] μέχρι[17]
τέλους βεβαίαν[18] κατάσχωμεν:[19] ἐν τῷ λέγεσθαι, Σήμερον ἐὰν τῆς 15
φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε[13] τὰς καρδίας ὑμῶν, ὡς ἐν
τῷ παραπικρασμῷ.[1] Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν,[20] ἀλλ' οὐ 16
πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου[21] διὰ Μωϋσέως. Τίσιν δὲ 17
προσώχθισεν[6] τεσσαράκοντα[5] ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ
κῶλα[22] ἔπεσεν ἐν τῇ ἐρήμῳ; Τίσιν δὲ ὤμοσεν[8] μὴ εἰσελεύσεσθαι εἰς 18
τὴν κατάπαυσιν[9] αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασιν;[23] Καὶ βλέπομεν ὅτι 19
οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν.[11]

[1] παραπικρασμός, οῦ, ὁ, rebellion, provocation. [2] πειρασμός, οῦ, ὁ, temptation, trial. [3] οὗ, where, when. [4] δοκιμάζω, prove, approve. [5] τεσσαράκοντα, forty, 40. [6] προσοχθίζω, be angry, am displeased with. [7] ἀεί, always, ever. [8] ὀμνύω, swear, take an oath. [9] κατάπαυσις, εως, ἡ, rest, resting. [10] μήποτε, never, lest perchance. [11] ἀπιστία, ας, ἡ, unbelief, unfaithfulness. [12] ἀφίστημι, withdraw, depart. [13] σκληρύνω, harden. [14] ἀπάτη, ης, ἡ, deceit, deceitfulness. [15] μέτοχος, ου, ὁ, partaker, partner. [16] ὑπόστασις, εως, ἡ, substance, confidence. [17] μέχρι, until, as far as (gen). [18] βέβαιος, firm, secure. [19] κατέχω, hold back, hold fast. [20] παραπικραίνω, embitter, provoke. [21] Αἴγυπτος, ου, ἡ, Egypt. [22] κῶλον, ου, τό, dead body, corpse. [23] ἀπειθέω, disbelieve, disobey.

Φοβηθῶμεν οὖν μήποτε[1] καταλειπομένης[2] ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν 4
κατάπαυσιν[3] αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.[4] Καὶ γάρ ἐσμεν 2
εὐηγγελισμένοι, καθάπερ[5] κἀκεῖνοι·[6] ἀλλ' οὐκ ὠφέλησεν[7] ὁ λόγος τῆς
ἀκοῆς[8] ἐκείνους, μὴ συγκεκραμένους[9] τῇ πίστει τοῖς ἀκούσασιν. 3
Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν[3] οἱ πιστεύσαντες, καθὼς
εἴρηκεν, Ὡς ὤμοσα[10] ἐν τῇ ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν
κατάπαυσίν[3] μου· καίτοι[11] τῶν ἔργων ἀπὸ καταβολῆς[12] κόσμου
γενηθέντων. Εἴρηκεν γάρ που[13] περὶ τῆς ἑβδόμης[14] οὕτως, Καὶ 4
κατέπαυσεν[15] ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ[14] ἀπὸ πάντων τῶν ἔργων
αὐτοῦ· καὶ ἐν τούτῳ πάλιν, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν[3] 5
μου. Ἐπεὶ[16] οὖν ἀπολείπεται[17] τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ 6
πρότερον[18] εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν,[19] πάλιν τινὰ 7
ὁρίζει[20] ἡμέραν, Σήμερον, ἐν Δαυὶδ λέγων, μετὰ τοσοῦτον[21] χρόνον,
καθὼς εἴρηται, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ
σκληρύνητε[22] τὰς καρδίας ὑμῶν. Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν,[15] 8
οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Ἄρα ἀπολείπεται[17] 9
σαββατισμὸς[23] τῷ λαῷ τοῦ θεοῦ. Ὁ γὰρ εἰσελθὼν εἰς τὴν 10
κατάπαυσιν[3] αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν[15] ἀπὸ τῶν ἔργων αὐτοῦ,
ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός. Σπουδάσωμεν[24] οὖν εἰσελθεῖν εἰς 11
ἐκείνην τὴν κατάπαυσιν,[3] ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι[25] πέσῃ

[1] μήποτε, never, lest perchance. [2] καταλείπω, leave, leave behind. [3] κατάπαυσις, εως, ἡ, rest, resting. [4] ὑστερέω, lack, need. [5] καθάπερ, even as, just as. [6] κἀκεῖνος, and he, and she. [7] ὠφελέω, profit, help. [8] ἀκοή, ῆς, ἡ, hearing, report. [9] συγκεράννυμι, blend, unite. [10] ὀμνύω, swear, take an oath. [11] καίτοι, yet, although. [12] καταβολή, ῆς, ἡ, foundation, depositing. [13] πού, somewhere, about. [14] ἕβδομος, seventh. [15] καταπαύω, cause to rest to rest, stop. [16] ἐπεί, when, since. [17] ἀπολείπω, leave, leave behind. [18] πρότερον, formerly, before. [19] ἀπείθεια, ας, ἡ, disobedience, willful unbelief. [20] ὁρίζω, mark off by boundaries, determine. [21] τοσοῦτος, so great, so much. [22] σκληρύνω, harden. [23] σαββατισμός, οῦ, ὁ, sabbath rest, sabbath observance. [24] σπουδάζω, hasten, be eager. [25] ὑπόδειγμα, τος, τό, copy, example.

τῆς ἀπειθείας.[1] Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνεργής,[2] καὶ 12
τομώτερος[3] ὑπὲρ πᾶσαν μάχαιραν[4] δίστομον,[5] καὶ διϊκνούμενος[6] ἄχρι
μερισμοῦ[7] ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν[8] τε καὶ μυελῶν,[9] καὶ
κριτικὸς[10] ἐνθυμήσεων[11] καὶ ἐννοιῶν[12] καρδίας. Καὶ οὐκ ἔστιν κτίσις[13] 13
ἀφανὴς[14] ἐνώπιον αὐτοῦ: πάντα δὲ γυμνὰ[15] καὶ τετραχηλισμένα[16]
τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος.

Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν 14
υἱὸν τοῦ θεοῦ, κρατῶμεν τῆς ὁμολογίας.[17] Οὐ γὰρ ἔχομεν ἀρχιερέα 15
μὴ δυνάμενον συμπαθῆσαι[18] ταῖς ἀσθενείαις[19] ἡμῶν, πεπειραμένον[20]
δὲ κατὰ πάντα καθ' ὁμοιότητα,[21] χωρὶς ἁμαρτίας. Προσερχώμεθα 16
οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον,[22] καὶ
χάριν εὕρωμεν εἰς εὔκαιρον[23] βοήθειαν.[24]

Πᾶς γὰρ ἀρχιερεύς, ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων **5**
καθίσταται[25] τὰ πρὸς τὸν θεόν, ἵνα προσφέρῃ δῶρά[26] τε καὶ θυσίας[27]
ὑπὲρ ἁμαρτιῶν: μετριοπαθεῖν[28] δυνάμενος τοῖς ἀγνοοῦσιν[29] καὶ 2
πλανωμένοις, ἐπεὶ[30] καὶ αὐτὸς περίκειται[31] ἀσθένειαν:[19] καὶ διὰ 3
ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ περὶ ἑαυτοῦ,
προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, 4

[1] ἀπείθεια, ας, ἡ, disobedience, willful unbelief. [2] ἐνεργής, effective, active. [3] τομώτερος, sharper, keener. [4] μάχαιρα, ης, ἡ, sword. [5] δίστομος, two-edged. [6] διϊκνέομαι, pierce, penetrate. [7] μερισμός, οῦ, ὁ, division, distribution. [8] ἁρμός, οῦ, ὁ, joint, joint of the body. [9] μυελός, ου, ὁ, marrow. [10] κριτικός, able to judge, critical. [11] ἐνθύμησις, εως, ἡ, deliberation, thought. [12] ἔννοια, ας, ἡ, thought, intention. [13] κτίσις, εως, ἡ, creation, creature. [14] ἀφανής, invisible, hidden. [15] γυμνός, naked, wearing only under-garments. [16] τραχηλίζω, am laid bare, laid open. [17] ὁμολογία, ας, ἡ, confession, profession. [18] συμπαθέω, sympathize with, have compassion on. [19] ἀσθένεια, ας, ἡ, weakness, sickness. [20] πειράω, try, attempt. [21] ὁμοιότης, ητος, ἡ, likeness, similarity. [22] ἔλεος, ους, ὁ, pity, mercy. [23] εὔκαιρος, timely, suitable. [24] βοήθεια, ας, ἡ, help, assistance. [25] καθίστημι, set, constitute. [26] δῶρον, ου, τό, gift, present. [27] θυσία, ας, ἡ, sacrifice. [28] μετριοπαθέω, moderate one's feelings, deal gently. [29] ἀγνοέω, not know, be unaware. [30] ἐπεί, when, since. [31] περίκειμαι, be around, surround.

ἀλλὰ καλούμενος ὑπὸ τοῦ θεοῦ, καθάπερ[1] καὶ Ἀαρών. Οὕτως καὶ ὁ 5
χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερέα, ἀλλ᾽ ὁ λαλήσας
πρὸς αὐτόν, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Καθὼς καὶ 6
ἐν ἑτέρῳ λέγει, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν[2] Μελχισεδέκ.[3]
Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις[4] τε καὶ ἱκετηρίας[5] 7
πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς[6]
ἰσχυρᾶς[7] καὶ δακρύων[8] προσενέγκας, καὶ εἰσακουσθεὶς[9] ἀπὸ τῆς
εὐλαβείας,[10] καίπερ[11] ὢν υἱός, ἔμαθεν[12] ἀφ᾽ ὧν ἔπαθεν τὴν ὑπακοήν,[13] 8
καὶ τελειωθεὶς[14] ἐγένετο τοῖς ὑπακούουσιν[15] αὐτῷ πᾶσιν αἴτιος[16]
σωτηρίας αἰωνίου: προσαγορευθεὶς[17] ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ 10
τὴν τάξιν[2] Μελχισεδέκ.[3]

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος[18] λέγειν, ἐπεὶ[19] νωθροὶ[20] 11
γεγόνατε ταῖς ἀκοαῖς.[21] Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν 12
χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα[22]
τῆς ἀρχῆς τῶν λογίων[23] τοῦ θεοῦ: καὶ γεγόνατε χρείαν ἔχοντες
γάλακτος,[24] καὶ οὐ στερεᾶς[25] τροφῆς.[26] Πᾶς γὰρ ὁ μετέχων[27] 13
γάλακτος[24] ἄπειρος[28] λόγου δικαιοσύνης: νήπιος[29] γάρ ἐστιν. Τελείων 14
δέ ἐστιν ἡ στερεὰ[25] τροφή,[26] τῶν διὰ τὴν ἕξιν[31] τὰ αἰσθητήρια[32]

[1] καθάπερ, even as, just as. [2] τάξις, εως, ἡ, arranging, order. [3] Μελχισεδέκ, ὁ, Melchizedek. [4] δέησις, εως, ἡ, entreaty, prayer. [5] ἱκετηρία, ας, ἡ, supplication, entreaty. [6] κραυγή, ῆς, ἡ, outcry, crying. [7] ἰσχυρός, strong, mighty. [8] δάκρυον, ου, τό, teardrop, a tear. [9] εἰσακούω, listen, hear. [10] εὐλάβεια, ας, ἡ, awe, reverence. [11] καίπερ, although. [12] μανθάνω, learn, ascertain. [13] ὑπακοή, ῆς, ἡ, obedience. [14] τελειόω, fill, fulfill. [15] ὑπακούω, obey, listen. [16] αἴτιος, ου, ὁ, causative of, responsible for. [17] προσαγορεύω, call by name, designate. [18] δυσερμήνευτος, hard to explain. [19] ἐπεί, when, since. [20] νωθρός, lazy, sluggish. [21] ἀκοή, ῆς, ἡ, hearing, report. [22] στοιχεῖον, τό, elementary principles, elements. [23] λόγιον, οῦ, τό, saying, oracle. [24] γάλα, γαλακτος, τό, milk. [25] στερεός, hard, firm. [26] τροφή, ῆς, ἡ, food, nourishment. [27] μετέχω, partake of, share in. [28] ἄπειρος, unacquainted with, unaccustomed to. [29] νήπιος, infant, child. [30] τέλειος, complete, perfect. [31] ἕξις, εως, ἡ, maturity, condition. [32] αἰσθητήριον, ου, τό, faculty of perception, sense.

γεγυμνασμένα[1] ἐχόντων πρὸς διάκρισιν[2] καλοῦ τε καὶ κακοῦ.

Διό, ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα[3] **6**
φερώμεθα, μὴ πάλιν θεμέλιον[4] καταβαλλόμενοι[5] μετανοίας[6] ἀπὸ
νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεόν, βαπτισμῶν[7] διδαχῆς, ἐπιθέσεώς 2
τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος[9] αἰωνίου. Καὶ τοῦτο 3
ποιήσωμεν, ἐάνπερ ἐπιτρέπῃ[10] ὁ θεός. Ἀδύνατον[11] γὰρ τοὺς ἅπαξ[12] 4
φωτισθέντας,[13] γευσαμένους[14] τε τῆς δωρεᾶς[15] τῆς ἐπουρανίου,[16] καὶ
μετόχους[17] γενηθέντας πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους[14] 5
θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας,[18] 6
πάλιν ἀνακαινίζειν[19] εἰς μετάνοιαν,[6] ἀνασταυροῦντας[20] ἑαυτοῖς τὸν
υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας.[21] Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' 7
αὐτῆς πολλάκις[22] ἐρχόμενον ὑετόν,[23] καὶ τίκτουσα[24] βοτάνην[25]
εὔθετον[26] ἐκείνοις δι' οὓς καὶ γεωργεῖται,[27] μεταλαμβάνει[28] εὐλογίας[29]
ἀπὸ τοῦ θεοῦ· ἐκφέρουσα[30] δὲ ἀκάνθας[31] καὶ τριβόλους,[32] ἀδόκιμος[33] 8
καὶ κατάρας[34] ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν.[35]

[1] γυμνάζω, train, undergo discipline. [2] διάκρισις, εως, ἡ, act of passing judgment. [3] τελειότης, ητος, ἡ, perfection, completeness. [4] θεμέλιος, ου, ὁ, foundation. [5] καταβάλλω, strike down, found. [6] μετάνοια, ας, ἡ, repentance, change of mind. [7] βαπτισμός, οῦ, ὁ, washing, cleansing. [8] ἐπίθεσις, εως, ἡ, laying on, assault. [9] κρίμα, ος, τό, judgment, verdict. [10] ἐπιτρέπω, permit, allow. [11] ἀδύνατος, impossible, unable. [12] ἅπαξ, once, once for all. [13] φωτίζω, give light, enlighten. [14] γεύομαι, taste, experience. [15] δωρεά, ᾶς, ἡ, gift, free gift. [16] ἐπουράνιος, heavenly, celestial. [17] μέτοχος, ου, ὁ, partaker, partner. [18] παραπίπτω, fall away, commit apostasy. [19] ἀνακαινίζω, renew, restore. [20] ἀνασταυρόω, crucify again. [21] παραδειγματίζω, expose, make an example of. [22] πολλάκις, often, many times. [23] ὑετός, ου, ὁ, rain. [24] τίκτω, give birth to, bear. [25] βοτάνη, ης, ἡ, herb, plant. [26] εὔθετος, useful, fit. [27] γεωργέω, farm, cultivate. [28] μεταλαμβάνω, partake of, share. [29] εὐλογία, ας, ἡ, blessing, adulation. [30] ἐκφέρω, carry out, bring forth. [31] ἄκανθα, ης, ἡ, thorn, thorn bush. [32] τρίβολος, ου, ὁ, thistle, briar. [33] ἀδόκιμος, not passing the test, rejected. [34] κατάρα, ας, ἡ, curse, cursing. [35] καῦσις, εως, ἡ, burning, burning up.

Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείσσονα[1] καὶ ἐχόμενα 9
σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν: οὐ γὰρ ἄδικος[2] ὁ θεὸς ἐπιλαθέσθαι[3] 10
τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου[4] τῆς ἀγάπης ἧς ἐνεδείξασθε[5] εἰς τὸ
ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. 11
Ἐπιθυμοῦμεν[6] δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι[5] σπουδὴν[7]
πρὸς τὴν πληροφορίαν[8] τῆς ἐλπίδος ἄχρι τέλους: ἵνα μὴ νωθροὶ[9] 12
γένησθε, μιμηταὶ[10] δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας[11]
κληρονομούντων[12] τὰς ἐπαγγελίας.

Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος[13] ὁ θεός, ἐπεὶ[14] κατ᾽ οὐδενὸς εἶχεν 13
μείζονος ὀμόσαι,[15] ὤμοσεν[15] καθ᾽ ἑαυτοῦ, λέγων, Ἦ[16] μὴν[17] εὐλογῶν 14
εὐλογήσω σε, καὶ πληθύνων[18] πληθυνῶ[18] σε. Καὶ οὕτως 15
μακροθυμήσας[19] ἐπέτυχεν[20] τῆς ἐπαγγελίας. Ἄνθρωποι μὲν γὰρ κατὰ 16
τοῦ μείζονος ὀμνύουσιν,[15] καὶ πάσης αὐτοῖς ἀντιλογίας[21] πέρας[22] εἰς
βεβαίωσιν[23] ὁ ὅρκος.[24] Ἐν ᾧ περισσότερον[25] βουλόμενος ὁ θεὸς 17
ἐπιδεῖξαι[26] τοῖς κληρονόμοις[27] τῆς ἐπαγγελίας τὸ ἀμετάθετον[28] τῆς
βουλῆς[29] αὐτοῦ, ἐμεσίτευσεν[30] ὅρκῳ,[24] ἵνα διὰ δύο πραγμάτων[31] 18
ἀμεταθέτων,[28] ἐν οἷς ἀδύνατον[32] ψεύσασθαι[33] θεόν, ἰσχυρὰν[34]
παράκλησιν[35] ἔχωμεν οἱ καταφυγόντες[36] κρατῆσαι τῆς προκειμένης[37]

[1] κρείσσων, stronger, more excellent. [2] ἄδικος, unjust, unrighteous. [3] ἐπιλανθάνομαι, forget, neglect. [4] κόπος, ου, ὁ, labor, trouble. [5] ἐνδείκνυμι, show forth, show. [6] ἐπιθυμέω, desire, long for. [7] σπουδή, ῆς, ἡ, haste, diligence. [8] πληροφορία, ας, ἡ, full assurance, certainty. [9] νωθρός, lazy, sluggish. [10] μιμητής, οῦ, ὁ, imitator. [11] μακροθυμία, ας, ἡ, long-suffering, patience. [12] κληρονομέω, inherit, obtain. [13] ἐπαγγέλλομαι, promise, profess. [14] ἐπεί, when, since. [15] ὀμνύω, swear, take an oath. [16] ἤ, truly, surely. [17] μήν, ὁ, month, certainly. [18] πληθύνω, multiply, increase. [19] μακροθυμέω, be patient, suffer long. [20] ἐπιτυγχάνω, obtain, attain. [21] ἀντιλογία, ας, ἡ, dispute, contradiction. [22] πέρας, ατος, τό, limit, end. [23] βεβαίωσις, εως, ἡ, confirmation, ratification. [24] ὅρκος, ου, ὁ, oath. [25] περισσός, excessive, abundant. [26] ἐπιδείκνυμι, show, prove. [27] κληρονόμος, ου, ὁ, heir, inheritor. [28] ἀμετάθετος, unchangeable, unchanged. [29] βουλή, ῆς, ἡ, counsel, purpose. [30] μεσιτεύω, guarantee, mediate. [31] πρᾶγμα, τος, τό, deed, matter. [32] ἀδύνατος, impossible, unable. [33] ψεύδομαι, lie. [34] ἰσχυρός, strong, mighty. [35] παράκλησις, εως, ἡ, exhortation, consolation. [36] καταφεύγω, flee, take refuge. [37] πρόκειμαι, be set before, be exhibited.

ἐλπίδος: ἣν ὡς ἄγκυραν[1] ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ[2] τε καὶ βεβαίαν,[3] 19
καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον[4] τοῦ καταπετάσματος:[5] ὅπου 20
πρόδρομος[6] ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν[7]
Μελχισεδὲκ[8] ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Οὗτος γὰρ ὁ Μελχισεδέκ,[8] βασιλεὺς Σαλήμ,[9] ἱερεὺς τοῦ θεοῦ τοῦ 7
ὑψίστου,[10] ὁ συναντήσας[11] Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς[12]
τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν, ᾧ καὶ δεκάτην[13] ἀπὸ πάντων 2
ἐμέρισεν[14] Ἀβραάμ – πρῶτον μὲν ἑρμηνευόμενος[15] βασιλεὺς
δικαιοσύνης, ἔπειτα[16] δὲ καὶ βασιλεὺς Σαλήμ,[9] ὅ ἐστιν βασιλεὺς
εἰρήνης: ἀπάτωρ,[17] ἀμήτωρ,[18] ἀγενεαλόγητος,[19] μήτε ἀρχὴν ἡμερῶν 3
μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος[20] δὲ τῷ υἱῷ τοῦ θεοῦ – μένει
ἱερεὺς εἰς τὸ διηνεκές.[21]

Θεωρεῖτε δὲ πηλίκος[22] οὗτος, ᾧ καὶ δεκάτην[13] Ἀβραὰμ ἔδωκεν ἐκ τῶν 4
ἀκροθινίων[23] ὁ πατριάρχης.[24] Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευῒ[25] τὴν 5
ἱερατείαν[26] λαμβάνοντες ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν[27] τὸν λαὸν
κατὰ τὸν νόμον, τοῦτ᾽ ἔστιν τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ[28]
ἐξεληλυθότας ἐκ τῆς ὀσφύος[29] Ἀβραάμ: ὁ δὲ μὴ γενεαλογούμενος[30] ἐξ 6
αὐτῶν δεδεκάτωκεν[31] τὸν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας

[1] ἄγκυρα, ας, ἡ, anchor. [2] ἀσφαλής, certain, definite. [3] βέβαιος, firm, secure. [4] ἐσώτερος, within, inside (gen). [5] καταπέτασμα, τος, τό, curtain or veil, veil. [6] πρόδρομος, ου, ὁ, going before, forerunner. [7] τάξις, εως, ἡ, arranging, order. [8] Μελχισεδέκ, ὁ, Melchizedek. [9] Σαλήμ, ἡ, Salem. [10] ὕψιστος, highest, most high. [11] συναντάω, meet with, hence to happen. [12] κοπή, ῆς, ἡ, miting, slaughter. [13] δεκάτη, ης, ἡ, tenth part, tithe. [14] μερίζω, divide, part. [15] ἑρμηνεύω, interpret, translate. [16] ἔπειτα, then, after this. [17] ἀπάτωρ, fatherless, without a father. [18] ἀμήτωρ, without a mother. [19] ἀγενεαλόγητος, without genealogy. [20] ἀφομοιόω, make like, assimilate. [21] διηνεκής, continuous, perpetual. [22] πηλίκος, how large, how great. [23] ἀκροθίνιον, ου, τό, booty, spoils. [24] πατριάρχης, ου, ὁ, patriarch. [25] Λευΐ, ὁ, Levi. [26] ἱερατεία, ας, ἡ, priestly office, priesthood. [27] ἀποδεκατόω, tithe, collect a tithe. [28] καίπερ, although. [29] ὀσφύς, ύος, ἡ, waist, hip. [30] γενεαλογέω, trace descent or ancestry. [31] δεκατόω, collect or receive tithes, tithe.

εὐλόγηκεν. Χωρὶς δὲ πάσης ἀντιλογίας,[1] τὸ ἔλαττον[2] ὑπὸ τοῦ 7
κρείττονος[3] εὐλογεῖται. Καὶ ὧδε μὲν δεκάτας[4] ἀποθνῄσκοντες 8
ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δέ, μαρτυρούμενος ὅτι ζῇ. Καί, ὡς ἔπος 9
εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευΐ[6] ὁ δεκάτας[4] λαμβάνων δεδεκάτωται·[7] 10
ἔτι γὰρ ἐν τῇ ὀσφύϊ[8] τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν[9] αὐτῷ ὁ
Μελχισεδέκ.[10]

Εἰ μὲν οὖν τελείωσις[11] διὰ τῆς Λευϊτικῆς[12] ἱερωσύνης[13] ἦν – ὁ λαὸς γὰρ 11
ἐπ' αὐτῇ νενομοθέτητο[14] – τίς ἔτι χρεία, κατὰ τὴν τάξιν[15]
Μελχισεδὲκ[10] ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν[15]
Ἀαρὼν λέγεσθαι; Μετατιθεμένης[16] γὰρ τῆς ἱερωσύνης,[13] ἐξ ἀνάγκης[17] 12
καὶ νόμου μετάθεσις[18] γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς 13
ἑτέρας μετέσχηκεν,[19] ἀφ' ἧς οὐδεὶς προσέσχηκεν[20] τῷ θυσιαστηρίῳ.[21] 14
Πρόδηλον[22] γὰρ ὅτι ἐξ Ἰούδα[23] ἀνατέταλκεν[24] ὁ κύριος ἡμῶν, εἰς ἣν
φυλὴν οὐδὲν περὶ ἱερωσύνης[13] Μωϋσῆς ἐλάλησεν. Καὶ περισσότερον 15
ἔτι κατάδηλόν[26] ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα[27] Μελχισεδὲκ[10]
ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς[28] 16
γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου·[29] μαρτυρεῖ γὰρ ὅτι 17
Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν[15] Μελχισεδέκ.[10] Ἀθέτησις[30] 18

[1] ἀντιλογία, ας, ἡ, dispute, contradiction. [2] ἐλάσσων, lesser, less. [3] κρείττων, stronger, more excellent. [4] δεκάτη, ης, ἡ, tenth part, tithe. [5] ἔπος, ους, τό, word, so to speak. [6] Λευΐ, ὁ, Levi. [7] δεκατόω, collect or receive tithes, tithe. [8] ὀσφύς, ύος, ἡ, waist, hip. [9] συναντάω, meet with, hence to happen. [10] Μελχισεδέκ, ὁ, Melchizedek. [11] τελείωσις, εως, ἡ, perfection, fulfillment. [12] Λευϊτικός, Levitical. [13] ἱερωσύνη, ης, ἡ, priesthood, priestly office. [14] νομοθετέω, ordain, enact. [15] τάξις, εως, ἡ, arranging, order. [16] μετατίθημι, transfer, change. [17] ἀνάγκη, ης, ἡ, necessity, distress. [18] μετάθεσις, εως, ἡ, change, removal. [19] μετέχω, partake of, share in. [20] προσέχω, take head of, attend to. [21] θυσιαστήριον, ου, τό, altar. [22] πρόδηλος, clear, evident. [23] Ἰούδα, ὁ, Judah, Judas. [24] ἀνατέλλω, cause to rise, make to rise. [25] περισσός, excessive, abundant. [26] κατάδηλος, very clear, quite plain. [27] ὁμοιότης, ητος, ἡ, likeness, similarity. [28] σαρκικός, fleshly, carnal. [29] ἀκατάλυτος, indissoluble. [30] ἀθέτησις, εως, ἡ, setting aside, annulment.

μὲν γὰρ γίνεται προαγούσης[1] ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς[2] καὶ
ἀνωφελές:[3] οὐδὲν γὰρ ἐτελείωσεν[4] ὁ νόμος, ἐπεισαγωγὴ[5] δὲ 19
κρείττονος[6] ἐλπίδος, δι᾽ ἧς ἐγγίζομεν τῷ θεῷ. Καὶ καθ᾽ ὅσον οὐ χωρὶς 20
ὁρκωμοσίας[7] – οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας[7] εἰσὶν ἱερεῖς γεγονότες, 21
ὁ δὲ μετὰ ὁρκωμοσίας,[7] διὰ τοῦ λέγοντος πρὸς αὐτόν, Ὤμοσεν[8]
κύριος καὶ οὐ μεταμεληθήσεται,[9] Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν
τάξιν[10] Μελχισεδέκ[11] – κατὰ τοσοῦτον[12] κρείττονος[6] διαθήκης 22
γέγονεν ἔγγυος[13] Ἰησοῦς. Καὶ οἱ μὲν πλείονές εἰσιν γεγονότες ἱερεῖς, 23
διὰ τὸ θανάτῳ κωλύεσθαι[14] παραμένειν:[15] ὁ δέ, διὰ τὸ μένειν αὐτὸν εἰς 24
τὸν αἰῶνα, ἀπαράβατον[16] ἔχει τὴν ἱερωσύνην.[17] Ὅθεν[18] καὶ σῴζειν εἰς 25
τὸ παντελὲς[19] δύναται τοὺς προσερχομένους δι᾽ αὐτοῦ τῷ θεῷ,
πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν[20] ὑπὲρ αὐτῶν.

Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν[21] ἀρχιερεύς, ὅσιος,[22] ἄκακος,[23] ἀμίαντος,[24] 26
κεχωρισμένος[25] ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος[26] τῶν οὐρανῶν
γενόμενος: ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην,[27] ὥσπερ οἱ ἀρχιερεῖς, 27
πρότερον[28] ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας[29] ἀναφέρειν,[30] ἔπειτα[31]
τῶν τοῦ λαοῦ: τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ,[32] ἑαυτὸν ἀνενέγκας.[30] Ὁ 28
νόμος γὰρ ἀνθρώπους καθίστησιν[33] ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν:[34] ὁ

[1] προάγω, lead forth, go before. [2] ἀσθενής, weak, infirm. [3] ἀνωφελής, unprofitable, useless. [4] τελειόω, fill, fulfill. [5] ἐπεισαγωγή, ῆς, ἡ, bringing in besides, bringing in. [6] κρείττων, stronger, more excellent. [7] ὁρκωμοσία, ας, ἡ, oath, taking of an oath. [8] ὀμνύω, swear, take an oath. [9] μεταμέλομαι, regret, repent. [10] τάξις, εως, ἡ, arranging, order. [11] Μελχισεδέκ, ὁ, Melchizedek. [12] τοσοῦτος, so great, so much. [13] ἔγγυος, ου, ὁ, under good security, surety. [14] κωλύω, forbid, hinder. [15] παραμένω, remain beside, continue. [16] ἀπαράβατος, permanent, unchangeable. [17] ἱερωσύνη, ης, ἡ, priesthood, priestly office. [18] ὅθεν, from where, from which. [19] παντελής, completely, forever. [20] ἐντυγχάνω, entreat, intercede. [21] πρέπω, be clearly seen, be fitting. [22] ὅσιος, righteous, pious. [23] ἄκακος, guileless, innocent. [24] ἀμίαντος, undefiled, untainted. [25] χωρίζω, separate, depart. [26] ὑψηλός, high, lofty. [27] ἀνάγκη, ης, ἡ, necessity, distress. [28] πρότερον, formerly, before. [29] θυσία, ας, ἡ, sacrifice. [30] ἀναφέρω, bring up, offer. [31] ἔπειτα, then, after this. [32] ἐφάπαξ, once for all, once. [33] καθίστημι, set, constitute. [34] ἀσθένεια, ας, ἡ, weakness, sickness.

λόγος δὲ τῆς ὁρκωμοσίας[1] τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα
τετελειωμένον.[2]

Κεφάλαιον[3] δὲ ἐπὶ τοῖς λεγομένοις: τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς **8**
ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης[4] ἐν τοῖς οὐρανοῖς, 2
τῶν ἁγίων λειτουργός,[5] καὶ τῆς σκηνῆς[6] τῆς ἀληθινῆς,[7] ἣν ἔπηξεν[8] ὁ
κύριος, καὶ οὐκ ἄνθρωπος: πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν 3
δῶρά[9] τε καὶ θυσίας[10] καθίσταται:[11] ὅθεν[12] ἀναγκαῖον[13] ἔχειν τι καὶ
τοῦτον ὃ προσενέγκῃ. Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ᾽ ἂν ἦν ἱερεύς, ὄντων 4
τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα,[9] οἵτινες 5
ὑποδείγματι[14] καὶ σκιᾷ[15] λατρεύουσιν[16] τῶν ἐπουρανίων,[17] καθὼς
κεχρημάτισται[18] Μωϋσῆς μέλλων ἐπιτελεῖν[19] τὴν σκηνήν,[6] Ὅρα,
γάρ φησιν, ποιήσεις πάντα κατὰ τὸν τύπον[20] τὸν δειχθέντα σοι ἐν τῷ
ὄρει. Νυνὶ[21] δὲ διαφορωτέρας[22] τέτυχεν[23] λειτουργίας,[24] ὅσῳ καὶ 6
κρείττονός[25] ἐστιν διαθήκης μεσίτης,[26] ἥτις ἐπὶ κρείττοσιν[25]
ἐπαγγελίαις νενομοθέτηται.[27] Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος,[28] 7
οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. Μεμφόμενος[29] γὰρ αὐτοῖς λέγει, 8
Ἰδού, ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ συντελέσω[30] ἐπὶ τὸν οἶκον
Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα[31] διαθήκην καινήν: οὐ κατὰ τὴν 9

[1] ὁρκωμοσία, ας, ἡ, oath, taking of an oath. [2] τελειόω, fill, fulfill. [3] κεφάλαιον, ου, τό, main thing, main point. [4] μεγαλωσύνη, ης, ἡ, greatness, majesty. [5] λειτουργός, οῦ, ὁ, minister, servant. [6] σκηνή, ῆς, ἡ, tent, tabernacle. [7] ἀληθινός, true, genuine. [8] πήγνυμι, make firm, put together. [9] δῶρον, ου, τό, gift, present. [10] θυσία, ας, ἡ, sacrifice. [11] καθίστημι, set, constitute. [12] ὅθεν, from where, from which. [13] ἀναγκαῖος, necessary, essential. [14] ὑπόδειγμα, τος, τό, copy, example. [15] σκιά, ᾶς, ἡ, shadow, thick darkness. [16] λατρεύω, serve, worship. [17] ἐπουράνιος, heavenly, celestial. [18] χρηματίζω, instruct, reveal. [19] ἐπιτελέω, complete, perform. [20] τύπος, ου, ὁ, mark, example. [21] νυνί, now, already. [22] διάφορος, various, different. [23] τυγχάνω, obtain, happen. [24] λειτουργία, ας, ἡ, service, ministry. [25] κρείττων, stronger, more excellent. [26] μεσίτης, ου, ὁ, mediator, go-between. [27] νομοθετέω, ordain, enact. [28] ἄμεμπτος, blameless. [29] μέμφομαι, find fault with, blame. [30] συντελέω, complete, accomplish. [31] Ἰούδα, ὁ, Judah, Judas.

διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου[1]
μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν[2] αὐτοὺς ἐκ γῆς Αἰγύπτου:[3] ὅτι αὐτοὶ
οὐκ ἐνέμειναν[4] ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα[5] αὐτῶν, λέγει
κύριος. Ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι[6] τῷ οἴκῳ Ἰσραὴλ μετὰ 10
τὰς ἡμέρας ἐκείνας, λέγει κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν[7]
αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω[8] αὐτούς: καὶ ἔσομαι αὐτοῖς
εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Καὶ οὐ μὴ διδάξωσιν 11
ἕκαστος τὸν πολίτην[9] αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων,
Γνῶθι τὸν κύριον: ὅτι πάντες εἰδήσουσίν με, ἀπὸ μικροῦ αὐτῶν ἕως
μεγάλου αὐτῶν. Ὅτι ἵλεως[10] ἔσομαι ταῖς ἀδικίαις[11] αὐτῶν, καὶ τῶν 12
ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν[12] αὐτῶν οὐ μὴ μνησθῶ[13] ἔτι. Ἐν 13
τῷ λέγειν, Καινήν, πεπαλαίωκεν[14] τὴν πρώτην. Τὸ δὲ παλαιούμενον
καὶ γηράσκον,[15] ἐγγὺς ἀφανισμοῦ.[16]

Εἶχεν μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα[17] λατρείας,[18] τό τε ἅγιον **9**
κοσμικόν.[19] Σκηνὴ[20] γὰρ κατεσκευάσθη[21] ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία[22] 2
καὶ ἡ τράπεζα[23] καὶ ἡ πρόθεσις[24] τῶν ἄρτων, ἥτις λέγεται ἅγια. Μετὰ 3
δὲ τὸ δεύτερον καταπέτασμα[25] σκηνὴ[20] ἡ λεγομένη ἅγια ἁγίων, 4
χρυσοῦν[26] ἔχουσα θυμιατήριον,[27] καὶ τὴν κιβωτὸν[28] τῆς διαθήκης
περικεκαλυμμένην[29] πάντοθεν[30] χρυσίῳ,[31] ἐν ᾗ στάμνος[32] χρυσῆ[26]

[1] ἐπιλαμβάνομαι, take hold of, seize. [2] ἐξάγω, lead out. [3] Αἴγυπτος, ου, ἡ, Egypt. [4] ἐμμένω, persevere, remain (in). [5] ἀμελέω, neglect, be unconcerned. [6] διατίθεμαι, appoint, make. [7] διάνοια, ας, ἡ, mind, understanding. [8] ἐπιγράφω, write upon, inscribe. [9] πολίτης, ου, ὁ, citizen. [10] ἵλεως, gracious, merciful. [11] ἀδικία, ας, ἡ, unrighteousness. [12] ἀνομία, ας, ἡ, lawlessness, iniquity. [13] μιμνήσκομαι, remember, recall. [14] παλαιόω, make or become old, obsolete. [15] γηράσκω, grow old, become old. [16] ἀφανισμός, οῦ, ὁ, vanishing, disappearing. [17] δικαίωμα, τος, τό, regulation, righteous deed. [18] λατρεία, ας, ἡ, service, divine worship. [19] κοσμικός, earthly, worldly. [20] σκηνή, ῆς, ἡ, tent, tabernacle. [21] κατασκευάζω, prepare, build. [22] λυχνία, ας, ἡ, lampstand. [23] τράπεζα, ης, ἡ, table. [24] πρόθεσις, εως, ἡ, setting forth, purpose. [25] καταπέτασμα, τος, τό, curtain or veil, veil. [26] χρυσοῦς, golden. [27] θυμιατήριον, ου, τό, altar of incense, censer. [28] κιβωτός, οῦ, ἡ, wooden box, ark. [29] περικαλύπτω, cover, conceal. [30] πάντοθεν, on all sides, from all sides. [31] χρυσίον, ου, τό, gold, golden ornament. [32] στάμνος, ου, ἡ, jar, jar or vase.

ἔχουσα τὸ μάννα,[1] καὶ ἡ ῥάβδος[2] Ἀαρὼν ἡ βλαστήσασα,[3] καὶ αἱ
πλάκες[4] τῆς διαθήκης· ὑπεράνω[5] δὲ αὐτῆς Χερουβὶμ[6] δόξης 5
κατασκιάζοντα[7] τὸ ἱλαστήριον·[8] περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ
μέρος. Τούτων δὲ οὕτως κατεσκευασμένων,[9] εἰς μὲν τὴν πρώτην 6
σκηνὴν[10] διὰ παντὸς εἰσίασιν[11] οἱ ἱερεῖς, τὰς λατρείας[12] ἐπιτελοῦντες·[13]
εἰς δὲ τὴν δευτέραν ἅπαξ[14] τοῦ ἐνιαυτοῦ[15] μόνος ὁ ἀρχιερεύς, οὐ 7
χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ
ἀγνοημάτων·[16] τοῦτο δηλοῦντος[17] τοῦ πνεύματος τοῦ ἁγίου, μήπω[18] 8
πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς[10] ἐχούσης
στάσιν·[19] ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα,[20] καθ᾽ ὃν 9
δῶρά[21] τε καὶ θυσίαι[22] προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν
τελειῶσαι[23] τὸν λατρεύοντα,[24] μόνον ἐπὶ βρώμασιν[25] καὶ πόμασιν[26] 10
καὶ διαφόροις[27] βαπτισμοῖς[28] καὶ δικαιώμασιν[29] σαρκός, μέχρι[30]
καιροῦ διορθώσεως[31] ἐπικείμενα.[32]

Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς 11
μείζονος καὶ τελειοτέρας[33] σκηνῆς,[10] οὐ χειροποιήτου,[34] τοῦτ᾽ ἔστιν,
οὐ ταύτης τῆς κτίσεως,[35] οὐδὲ δι᾽ αἵματος τράγων[36] καὶ μόσχων,[37] διὰ 12
δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ[38] εἰς τὰ ἅγια, αἰωνίαν

[1] μάννα, τό, manna. [2] ῥάβδος, ου, ἡ, staff, rod. [3] βλαστάνω, sprout, produce. [4] πλάξ, πλακός, ἡ, tablet, table. [5] ὑπεράνω, high above (gen), far above. [6] χερουβίμ, τό, cherubim. [7] κατασκιάζω, overshadow. [8] ἱλαστήριον, ου, τό, sin offering, covering. [9] κατασκευάζω, prepare, build. [10] σκηνή, ῆς, ἡ, tent, tabernacle. [11] εἴσειμι, enter, go in. [12] λατρεία, ας, ἡ, service, divine worship. [13] ἐπιτελέω, complete, perform. [14] ἅπαξ, once, once for all. [15] ἐνιαυτός, οῦ, ὁ, year. [16] ἀγνόημα, τος, τό, sin of ignorance. [17] δηλόω, show, make clear. [18] μήπω, not yet. [19] στάσις, εως, ἡ, standing, rebellion. [20] ἐνίστημι, be present, place in or upon. [21] δῶρον, ου, τό, gift, present. [22] θυσία, ας, ἡ, sacrifice. [23] τελειόω, fill, fulfill. [24] λατρεύω, serve, worship. [25] βρῶμα, τος, τό, food, food of any kind. [26] πόμα, τος, τό, drink. [27] διάφορος, various, different. [28] βαπτισμός, οῦ, ὁ, washing, cleansing. [29] δικαίωμα, τος, τό, regulation, righteous deed. [30] μέχρι, until, as far as (gen). [31] διόρθωσις, εως, ἡ, reformation, new order. [32] ἐπίκειμαι, lie on, lie upon. [33] τέλειος, complete, perfect. [34] χειροποίητος, made by hand, done or made with hands. [35] κτίσις, εως, ἡ, creation, creature. [36] τράγος, ου, ὁ, male goat. [37] μόσχος, ου, ὁ, calf. [38] ἐφάπαξ, once for all, once.

λύτρωσιν[1] εὑράμενος. Εἰ γὰρ τὸ αἷμα ταύρων[2] καὶ τράγων,[3] καὶ 13
σποδὸς[4] δαμάλεως[5] ῥαντίζουσα[6] τοὺς κεκοινωμένους,[7] ἁγιάζει[8] πρὸς
τὴν τῆς σαρκὸς καθαρότητα,[9] πόσῳ[10] μᾶλλον τὸ αἷμα τοῦ χριστοῦ, 14
ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον[11] τῷ θεῷ,
καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν[12]
θεῷ ζῶντι; Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης[13] ἐστίν, ὅπως, 15
θανάτου γενομένου εἰς ἀπολύτρωσιν[14] τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ
παραβάσεων,[15] τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου
κληρονομίας.[16] Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη[17] φέρεσθαι τοῦ 16
διαθεμένου.[18] Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία,[19] ἐπεὶ[20] μήποτε[21] 17
ἰσχύει[22] ὅτε ζῇ ὁ διαθέμενος.[18] Ὅθεν[23] οὐδʼ ἡ πρώτη χωρὶς αἵματος 18
ἐγκεκαίνισται.[24] Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ 19
Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων[25] καὶ τράγων,[3]
μετὰ ὕδατος καὶ ἐρίου[26] κοκκίνου[27] καὶ ὑσσώπου,[28] αὐτό τε τὸ βιβλίον
καὶ πάντα τὸν λαὸν ἐρράντισεν,[6] λέγων, Τοῦτο τὸ αἷμα τῆς 20
διαθήκης ἧς ἐνετείλατο[29] πρὸς ὑμᾶς ὁ θεός. Καὶ τὴν σκηνὴν[30] δὲ καὶ 21
πάντα τὰ σκεύη[31] τῆς λειτουργίας[32] τῷ αἵματι ὁμοίως ἐρράντισεν.[6] 22
Καὶ σχεδὸν[33] ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς
αἱματεκχυσίας[34] οὐ γίνεται ἄφεσις.[35]

[1] λύτρωσις, εως, ἡ, ransoming, redemption. [2] ταῦρος, ου, ὁ, bull, ox. [3] τράγος, ου, ὁ, male goat. [4] σποδός, οῦ, ἡ, ashes. [5] δάμαλις, εως, ἡ, heifer, young cow. [6] ῥαντίζω, sprinkle, cleanse. [7] κοινόω, make common, defile. [8] ἁγιάζω, make holy, consecrate. [9] καθαρότης, ητος, ἡ, purity, cleansing. [10] πόσος, how many? how great? [11] ἄμωμος, without blemish, blameless. [12] λατρεύω, serve, worship. [13] μεσίτης, ου, ὁ, mediator, go-between. [14] ἀπολύτρωσις, εως, ἡ, redemption, deliverance. [15] παράβασις, εως, ἡ, going aside, transgression. [16] κληρονομία, ας, ἡ, inheritance. [17] ἀνάγκη, ης, ἡ, necessity, distress. [18] διατίθεμαι, appoint, make. [19] βέβαιος, firm, secure. [20] ἐπεί, when, since. [21] μήποτε, never, lest perchance. [22] ἰσχύω, be strong, able. [23] ὅθεν, from where, from which. [24] ἐγκαινίζω, renew, inaugurate. [25] μόσχος, ου, ὁ, calf. [26] ἔριον, ου, τό, wool. [27] κόκκινος, scarlet, crimson. [28] ὕσσωπος, ου, ὁ, hyssop. [29] ἐντέλλομαι, command, give orders. [30] σκηνή, ῆς, ἡ, tent, tabernacle. [31] σκεῦος, ους, τό, vessel, goods (plural). [32] λειτουργία, ας, ἡ, service, ministry. [33] σχεδόν, almost, nearly. [34] αἱματεκχυσία, ας, ἡ, shedding of blood. [35] ἄφεσις, εως, ἡ, release, forgiveness.

Ἀνάγκη[1] οὖν τὰ μὲν ὑποδείγματα[2] τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις 23
καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια[3] κρείττοσιν[4] θυσίαις[5] παρὰ
ταύτας. Οὐ γὰρ εἰς χειροποίητα[6] ἅγια εἰσῆλθεν ὁ χριστός, ἀντίτυπα[7] 24
τῶν ἀληθινῶν,[8] ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι[9] τῷ
προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν· οὐδ' ἵνα πολλάκις[10] προσφέρῃ ἑαυτόν, 25
ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν[11] ἐν αἵματι
ἀλλοτρίῳ·[12] ἐπεὶ[13] ἔδει αὐτὸν πολλάκις[10] παθεῖν ἀπὸ καταβολῆς[14] 26
κόσμου· νῦν δὲ ἅπαξ[15] ἐπὶ συντελείᾳ[16] τῶν αἰώνων εἰς ἀθέτησιν[17]
ἁμαρτίας διὰ τῆς θυσίας[5] αὐτοῦ πεφανέρωται. Καὶ καθ' ὅσον 27
ἀπόκειται[18] τοῖς ἀνθρώποις ἅπαξ[15] ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις· 28
οὕτως καὶ ὁ χριστός, ἅπαξ[15] προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν[19]
ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν
ἀπεκδεχομένοις,[20] εἰς σωτηρίαν.

Σκιὰν[21] γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν **10**
εἰκόνα[22] τῶν πραγμάτων,[23] κατ' ἐνιαυτὸν[11] ταῖς αὐταῖς θυσίαις[5] ἃς
προσφέρουσιν εἰς τὸ διηνεκές,[24] οὐδέποτε[25] δύνανται τοὺς
προσερχομένους τελειῶσαι.[26] Ἐπεὶ[13] οὐκ ἂν ἐπαύσαντο[27] 2
προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς
λατρεύοντας,[28] ἅπαξ[15] κεκαθαρμένους;[29] Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις[30] 3

[1] ἀνάγκη, ης, ἡ, necessity, distress. [2] ὑπόδειγμα, τος, τό, copy, example. [3] ἐπουράνιος, heavenly, celestial. [4] κρείττων, stronger, more excellent. [5] θυσία, ας, ἡ, sacrifice. [6] χειροποίητος, made by hand, done or made with hands. [7] ἀντίτυπος, struck back, corresponding to. [8] ἀληθινός, true, genuine. [9] ἐμφανίζω, manifest, disclose. [10] πολλάκις, often, many times. [11] ἐνιαυτός, οῦ, ὁ, year. [12] ἀλλότριος, strange, foreign. [13] ἐπεί, when, since. [14] καταβολή, ῆς, ἡ, foundation, depositing. [15] ἅπαξ, once, once for all. [16] συντέλεια, ας, ἡ, completion, end. [17] ἀθέτησις, εως, ἡ, setting aside, annulment. [18] ἀπόκειμαι, be laid up, put away. [19] ἀναφέρω, bring up, offer. [20] ἀπεκδέχομαι, await eagerly, expect eagerly. [21] σκιά, ᾶς, ἡ, shadow, thick darkness. [22] εἰκών, όνος, ἡ, image, likeness. [23] πρᾶγμα, τος, τό, deed, matter. [24] διηνεκής, continuous, perpetual. [25] οὐδέποτε, never. [26] τελειόω, fill, fulfill. [27] παύω, cause to cease. [28] λατρεύω, serve, worship. [29] καθαίρω, make clean, clear. [30] ἀνάμνησις, εως, ἡ, remembrance, reminder.

ἁμαρτιῶν κατ᾽ ἐνιαυτόν:[1] ἀδύνατον[2] γὰρ αἷμα ταύρων[3] καὶ τράγων[4] 4
ἀφαιρεῖν[5] ἁμαρτίας. Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει, Θυσίαν[6] 5
καὶ προσφορὰν[7] οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω[8] μοι: 6
ὁλοκαυτώματα[9] καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας:[10] τότε εἶπον, Ἰδού, 7
ἥκω[11] – ἐν κεφαλίδι[12] βιβλίου γέγραπται περὶ ἐμοῦ – τοῦ ποιῆσαι, ὁ
θεός, τὸ θέλημά σου. Ἀνώτερον[13] λέγων ὅτι Θυσίαν[6] καὶ προσφορὰν[7] 8
καὶ ὁλοκαυτώματα[9] καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ
εὐδόκησας[10] – αἵτινες κατὰ τὸν νόμον προσφέρονται – τότε εἴρηκεν, 9
Ἰδού, ἥκω[11] τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέλημά σου. Ἀναιρεῖ[14] τὸ πρῶτον,
ἵνα τὸ δεύτερον στήσῃ. Ἐν ᾧ θελήματι ἡγιασμένοι[15] ἐσμέν, οἱ διὰ 10
τῆς προσφορᾶς[7] τοῦ σώματος Ἰησοῦ χριστοῦ ἐφάπαξ.[16] Καὶ πᾶς μὲν 11
ἱερεὺς ἕστηκεν καθ᾽ ἡμέραν λειτουργῶν,[17] καὶ τὰς αὐτὰς πολλάκις[18]
προσφέρων θυσίας,[6] αἵτινες οὐδέποτε[19] δύνανται περιελεῖν[20] ἁμαρτίας:
αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν[6] εἰς τὸ διηνεκές,[21] 12
ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος[22] ἕως τεθῶσιν οἱ 13
ἐχθροὶ αὐτοῦ ὑποπόδιον[23] τῶν ποδῶν αὐτοῦ. Μιᾷ γὰρ προσφορᾷ[7] 14
τετελείωκεν[24] εἰς τὸ διηνεκὲς[21] τοὺς ἁγιαζομένους.[15] Μαρτυρεῖ δὲ 15
ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον: μετὰ γὰρ τὸ προειρηκέναι,[25] Αὕτη ἡ 16
διαθήκη ἣν διαθήσομαι[26] πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει
κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν[27]

[1] ἐνιαυτός, οῦ, ὁ, year. [2] ἀδύνατος, impossible, unable. [3] ταῦρος, ου, ὁ, bull, ox. [4] τράγος, ου, ὁ, male goat. [5] ἀφαιρέω, take away, smite off. [6] θυσία, ας, ἡ, sacrifice. [7] προσφορά, ᾶς, ἡ, offering, sacrifice. [8] καταρτίζω, mend, fit. [9] ὁλοκαύτωμα, τος, τό, whole burnt offering. [10] εὐδοκέω, think it good, be well pleased with. [11] ἥκω, I have come, I am present. [12] κεφαλίς, ίδος, ἡ, roll of a book, roll. [13] ἀνώτερον, higher, more honorable place. [14] ἀναιρέω, take up, kill. [15] ἁγιάζω, make holy, consecrate. [16] ἐφάπαξ, once for all, once. [17] λειτουργέω, minister, serve. [18] πολλάκις, often, many times. [19] οὐδέποτε, never. [20] περιαιρέω, cast off, take away. [21] διηνεκής, continuous, perpetual. [22] ἐκδέχομαι, await, expect. [23] ὑποπόδιον, ου, τό, footstool. [24] τελειόω, fill, fulfill. [25] προλέγω, say beforehand, forewarn. [26] διατίθεμαι, appoint, make. [27] διάνοια, ας, ἡ, mind, understanding.

αὐτῶν ἐπιγράψω[1] αὐτούς: καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν 17
ἀνομιῶν[2] αὐτῶν οὐ μὴ μνησθῶ[3] ἔτι. Ὅπου δὲ ἄφεσις[4] τούτων, οὐκέτι 18
προσφορὰ[5] περὶ ἁμαρτίας.

Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον[6] τῶν ἁγίων ἐν τῷ 19
αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν[7] ἡμῖν ὁδὸν πρόσφατον[8] καὶ ζῶσαν, διὰ 20
τοῦ καταπετάσματος,[9] τοῦτ᾽ ἔστιν, τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα 21
μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς[10] 22
καρδίας ἐν πληροφορίᾳ[11] πίστεως, ἐρραντισμένοι[12] τὰς καρδίας ἀπὸ
συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι[13] τὸ σῶμα ὕδατι καθαρῷ:[14] 23
κατέχωμεν[15] τὴν ὁμολογίαν[16] τῆς ἐλπίδος ἀκλινῆ,[17] πιστὸς γὰρ ὁ
ἐπαγγειλάμενος:[18] καὶ κατανοῶμεν[19] ἀλλήλους εἰς παροξυσμὸν[20] 24
ἀγάπης καὶ καλῶν ἔργων, μὴ ἐγκαταλείποντες[21] τὴν ἐπισυναγωγὴν[22] 25
ἑαυτῶν, καθὼς ἔθος[23] τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ[24]
μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

Ἑκουσίως[25] γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν[26] 26
τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται[27] θυσία,[28] φοβερὰ[29] 27
δέ τις ἐκδοχὴ[30] κρίσεως, καὶ πυρὸς ζῆλος[31] ἐσθίειν μέλλοντος τοὺς
ὑπεναντίους.[32] Ἀθετήσας[33] τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν[34] ἐπὶ 28

[1] ἐπιγράφω, write upon, inscribe. [2] ἀνομία, ας, ἡ, lawlessness, iniquity. [3] μιμνήσκομαι, remember, recall. [4] ἄφεσις, εως, ἡ, release, forgiveness. [5] προσφορά, ᾶς, ἡ, offering, sacrifice. [6] εἴσοδος, ου, ἡ, entrance, entering. [7] ἐγκαινίζω, renew, inaugurate. [8] πρόσφατος, new, recent. [9] καταπέτασμα, τος, τό, curtain or veil, veil. [10] ἀληθινός, true, genuine. [11] πληροφορία, ας, ἡ, full assurance, certainty. [12] ῥαντίζω, sprinkle, cleanse. [13] λούω, bathe, wash. [14] καθαρός, clean, pure. [15] κατέχω, hold back, hold fast. [16] ὁμολογία, ας, ἡ, confession, profession. [17] ἀκλινής, without wavering, unbent. [18] ἐπαγγέλλομαι, promise, profess. [19] κατανοέω, observe, understand. [20] παροξυσμός, οῦ, ὁ, stimulation, provocation. [21] ἐγκαταλείπω, leave behind, forsake. [22] ἐπισυναγωγή, ῆς, ἡ, meeting, assembling. [23] ἔθος, ους, τό, custom. [24] τοσοῦτος, so great, so much. [25] ἑκουσίως, voluntarily, willingly. [26] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [27] ἀπολείπω, leave, leave behind. [28] θυσία, ας, ἡ, sacrifice. [29] φοβερός, fearful, terrible. [30] ἐκδοχή, ῆς, ἡ, expectation, waiting for. [31] ζῆλος, ου, ὁ, zeal, jealousy. [32] ὑπεναντίος, opposed, contrary. [33] ἀθετέω, reject, annul. [34] οἰκτιρμός, οῦ, ὁ, compassion, pity.

δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνῄσκει: πόσῳ,[1] δοκεῖτε, χείρονος[2] 29
ἀξιωθήσεται[3] τιμωρίας[4] ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας,[5] καὶ τὸ
αἷμα τῆς διαθήκης κοινὸν[6] ἡγησάμενος[7] ἐν ᾧ ἡγιάσθη,[8] καὶ τὸ
πνεῦμα τῆς χάριτος ἐνυβρίσας;[9] Οἴδαμεν γὰρ τὸν εἰπόντα, Ἐμοὶ 30
ἐκδίκησις,[10] ἐγὼ ἀνταποδώσω,[11] λέγει κύριος: καὶ πάλιν, κύριος
κρινεῖ τὸν λαὸν αὐτοῦ. Φοβερὸν[12] τὸ ἐμπεσεῖν[13] εἰς χεῖρας θεοῦ 31
ζῶντος.

Ἀναμιμνῄσκεσθε[14] δὲ τὰς πρότερον[15] ἡμέρας, ἐν αἷς φωτισθέντες[16] 32
πολλὴν ἄθλησιν[17] ὑπεμείνατε[18] παθημάτων:[19] τοῦτο μέν, ὀνειδισμοῖς 33
τε καὶ θλίψεσιν θεατριζόμενοι:[21] τοῦτο δέ, κοινωνοὶ[22] τῶν οὕτως
ἀναστρεφομένων[23] γενηθέντες. Καὶ γὰρ τοῖς δεσμοῖς[24] μου 34
συνεπαθήσατε,[25] καὶ τὴν ἁρπαγὴν[26] τῶν ὑπαρχόντων ὑμῶν μετὰ
χαρᾶς προσεδέξασθε,[27] γινώσκοντες ἔχειν ἑαυτοῖς κρείττονα[28]
ὕπαρξιν[29] ἐν οὐρανοῖς καὶ μένουσαν. Μὴ ἀποβάλητε[30] οὖν τὴν 35
παρρησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν[31] μεγάλην. Ὑπομονῆς 36
γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες κομίσησθε[32]
τὴν ἐπαγγελίαν. Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, Ὁ ἐρχόμενος ἥξει,[33] καὶ 37
οὐ χρονιεῖ.[34] Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται: καὶ ἐὰν ὑποστείληται,[35] 38

[1] πόσος, how many? how great? [2] χείρων, worse. [3] ἀξιόω, consider worthy. [4] τιμωρία, ας, ἡ, punishment, penalty. [5] καταπατέω, trample under foot. [6] κοινός, common, unclean. [7] ἡγέομαι, lead, be chief. [8] ἁγιάζω, make holy, consecrate. [9] ἐνυβρίζω, insult, outrage. [10] ἐκδίκησις, εως, ἡ, vengeance, vindication. [11] ἀνταποδίδωμι, recompense, repay. [12] φοβερός, fearful, terrible. [13] ἐμπίπτω, fall into, fall in. [14] ἀναμιμνήσκω, remind, remember. [15] πρότερον, formerly, before. [16] φωτίζω, give light, enlighten. [17] ἄθλησις, εως, ἡ, contest, conflict. [18] ὑπομένω, tarry, endure. [19] πάθημα, τος, τό, suffering, passion. [20] ὀνειδισμός, οῦ, ὁ, reproach, reviling. [21] θεατρίζω, put to shame, expose publicly. [22] κοινωνός, οῦ, ὁ, partner, sharer. [23] ἀναστρέφω, return, live. [24] δεσμός, οῦ, ὁ, chain, bond. [25] συμπαθέω, sympathize with, have compassion on. [26] ἁρπαγή, ῆς, ἡ, plunder, robbery. [27] προσδέχομαι, receive, wait for. [28] κρείττων, stronger, more excellent. [29] ὕπαρξις, εως, ἡ, existence, subsistence. [30] ἀποβάλλω, throw away, cast aside. [31] μισθαποδοσία, ας, ἡ, recompense, reward. [32] κομίζω, receive, bring. [33] ἥκω, have come, am present. [34] χρονίζω, spend or take time, delay. [35] ὑποστέλλω, draw back, withdraw.

οὐκ εὐδοκεῖ[1] ἡ ψυχή μου ἐν αὐτῷ. Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς[2] 39
εἰς ἀπώλειαν,[3] ἀλλὰ πίστεως εἰς περιποίησιν[4] ψυχῆς.

Ἔστιν δὲ πίστις ἐλπιζομένων ὑπόστασις,[5] πραγμάτων[6] ἔλεγχος[7] οὐ **11**
βλεπομένων. Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Πίστει 2
νοοῦμεν[8] κατηρτίσθαι[9] τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ
φαινομένων τὰ βλεπόμενα γεγονέναι. Πίστει πλείονα θυσίαν[10] Ἄβελ 4
παρὰ Κάϊν[11] προσήνεγκεν τῷ θεῷ, δι᾽ ἧς ἐμαρτυρήθη εἶναι δίκαιος,
μαρτυροῦντος ἐπὶ τοῖς δώροις[12] αὐτοῦ τοῦ θεοῦ: καὶ δι᾽ αὐτῆς
ἀποθανὼν ἔτι λαλεῖται. Πίστει Ἐνὼχ μετετέθη[13] τοῦ μὴ ἰδεῖν 5
θάνατον, καὶ οὐχ εὑρίσκετο, διότι[14] μετέθηκεν[13] αὐτὸν ὁ θεός: πρὸ
γὰρ τῆς μεταθέσεως[15] αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι[16] τῷ θεῷ: 6
χωρὶς δὲ πίστεως ἀδύνατον[17] εὐαρεστῆσαι:[16] πιστεῦσαι γὰρ δεῖ τὸν
προσερχόμενον τῷ θεῷ, ὅτι ἔστιν, καὶ τοῖς ἐκζητοῦσιν[18] αὐτὸν
μισθαποδότης[19] γίνεται. Πίστει χρηματισθεὶς[20] Νῶε[21] περὶ τῶν 7
μηδέπω[22] βλεπομένων, εὐλαβηθεὶς[23] κατεσκεύασεν[24] κιβωτὸν[25] εἰς
σωτηρίαν τοῦ οἴκου αὐτοῦ: δι᾽ ἧς κατέκρινεν[26] τὸν κόσμον, καὶ τῆς
κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.[27] Πίστει καλούμενος 8
Ἀβραὰμ ὑπήκουσεν[28] ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἤμελλεν λαμβάνειν
εἰς κληρονομίαν,[29] καὶ ἐξῆλθεν μὴ ἐπιστάμενος[30] ποῦ ἔρχεται. Πίστει 9

[1] εὐδοκέω, think it good, be well pleased with. [2] ὑποστολή, ῆς, ἡ, hesitancy, timidity. [3] ἀπώλεια, ας, ἡ, destruction, ruin. [4] περιποίησις, εως, ἡ, preservation, acquisition. [5] ὑπόστασις, εως, ἡ, substance, confidence. [6] πρᾶγμα, τος, τό, deed, matter. [7] ἔλεγχος, ου, ὁ, proof, conviction. [8] νοέω, understand, consider. [9] καταρτίζω, mend, fit. [10] θυσία, ας, ἡ, sacrifice. [11] Κάϊν, ὁ, Cain. [12] δῶρον, ου, τό, gift, present. [13] μετατίθημι, transfer, change. [14] διότι, because, on this account. [15] μετάθεσις, εως, ἡ, change, removal. [16] εὐαρεστέω, be pleasing, pleased. [17] ἀδύνατος, impossible, unable. [18] ἐκζητέω, seek out, inquire. [19] μισθαποδότης, ου, ὁ, rewarder. [20] χρηματίζω, instruct, reveal. [21] Νῶε, ὁ, Noah. [22] μηδέπω, not yet. [23] εὐλαβέομαι, reverence, respect. [24] κατασκευάζω, prepare, build. [25] κιβωτός, οῦ, ἡ, wooden box, ark. [26] κατακρίνω, condemn. [27] κληρονόμος, ου, ὁ, heir, inheritor. [28] ὑπακούω, obey, listen. [29] κληρονομία, ας, ἡ, inheritance. [30] ἐπίσταμαι, understand, know.

παρῴκησεν[1] εἰς γῆν τῆς ἐπαγγελίας, ὡς ἀλλοτρίαν,[2] ἐν σκηναῖς[3]
κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν συγκληρονόμων[4] τῆς
ἐπαγγελίας τῆς αὐτῆς: ἐξεδέχετο[5] γὰρ τὴν τοὺς θεμελίους[6] ἔχουσαν 10
πόλιν, ἧς τεχνίτης[7] καὶ δημιουργὸς[8] ὁ θεός. Πίστει καὶ αὐτὴ Σάρρα[9] 11
δύναμιν εἰς καταβολὴν[10] σπέρματος ἔλαβεν, καὶ παρὰ καιρὸν
ἡλικίας[11] ἔτεκεν,[12] ἐπεὶ[13] πιστὸν ἡγήσατο[14] τὸν ἐπαγγειλάμενον.[15] Διὸ 12
καὶ ἀφ᾽ ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου,[16] καθὼς τὰ
ἄστρα[17] τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς ἡ ἄμμος[18] ἡ παρὰ τὸ χεῖλος[19]
τῆς θαλάσσης ἡ ἀναρίθμητος.[20]

Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, 13
ἀλλὰ πόρρωθεν[21] αὐτὰς ἰδόντες, καὶ ἀσπασάμενοι, καὶ
ὁμολογήσαντες[22] ὅτι ξένοι[23] καὶ παρεπίδημοί[24] εἰσιν ἐπὶ τῆς γῆς. Οἱ 14
γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν[25] ὅτι πατρίδα[26] ἐπιζητοῦσιν.[27] 15
Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον[28] ἀφ᾽ ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν
ἀνακάμψαι.[29] Νῦν δὲ κρείττονος[30] ὀρέγονται,[31] τοῦτ᾽ ἔστιν, 16
ἐπουρανίου:[32] διὸ οὐκ ἐπαισχύνεται[33] αὐτοὺς ὁ θεός, θεὸς
ἐπικαλεῖσθαι αὐτῶν: ἡτοίμασεν γὰρ αὐτοῖς πόλιν.

[1] παροικέω, live a stranger, sojourn. [2] ἀλλότριος, strange, foreign. [3] σκηνή, ῆς, ἡ, tent, tabernacle. [4] συγκληρονόμος, fellow heir, joint heir. [5] ἐκδέχομαι, await, expect. [6] θεμέλιος, ου, ὁ, foundation. [7] τεχνίτης, ου, ὁ, craftsman, artisan. [8] δημιουργός, οῦ, ὁ, builder, maker. [9] Σάρρα, ας, ἡ, Sarah. [10] καταβολή, ῆς, ἡ, foundation, depositing. [11] ἡλικία, ας, ἡ, maturity, age. [12] τίκτω, give birth to, bear. [13] ἐπεί, when, since. [14] ἡγέομαι, lead, be chief. [15] ἐπαγγέλλομαι, promise, profess. [16] νεκρόω, put to death, render weak. [17] ἄστρον, ου, τό, star. [18] ἄμμος, ου, ἡ, sand. [19] χεῖλος, ους, τό, lip, edge. [20] ἀναρίθμητος, innumerable, uncountable. [21] πόρρωθεν, from a distance, at a distance. [22] ὁμολογέω, confess, profess. [23] ξένος, strange, stranger. [24] παρεπίδημος, ου, ὁ, sojourning in a strange place. [25] ἐμφανίζω, manifest, disclose. [26] πατρίς, ίδος, ἡ, of one's fathers, fatherland. [27] ἐπιζητέω, seek for, seek after. [28] μνημονεύω, remember, make mention of. [29] ἀνακάμπτω, turn back, return. [30] κρείττων, stronger, more excellent. [31] ὀρέγω, stretch forth, long for. [32] ἐπουράνιος, heavenly, celestial. [33] ἐπαισχύνομαι, be ashamed, am ashamed.

Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν 17
μονογενῆ[1] προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος,[2] πρὸς ὃν 18
ἐλαλήθη, ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα: λογισάμενος ὅτι 19
καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός: ὅθεν[3] αὐτὸν καὶ ἐν παραβολῇ
ἐκομίσατο.[4] Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ 20
καὶ τὸν Ἠσαῦ. Πίστει Ἰακὼβ ἀποθνῄσκων ἕκαστον τῶν υἱῶν 21
Ἰωσὴφ εὐλόγησεν, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον[5] τῆς ῥάβδου[6]
αὐτοῦ. Πίστει Ἰωσὴφ τελευτῶν[7] περὶ τῆς ἐξόδου[8] τῶν υἱῶν Ἰσραὴλ 22
ἐμνημόνευσεν,[9] καὶ περὶ τῶν ὀστέων[10] αὐτοῦ ἐνετείλατο.[11] Πίστει 23
Μωϋσῆς γεννηθεὶς ἐκρύβη[12] τρίμηνον[13] ὑπὸ τῶν πατέρων αὐτοῦ,
διότι[14] εἶδον ἀστεῖον[15] τὸ παιδίον: καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα[16]
τοῦ βασιλέως. Πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι 24
υἱὸς θυγατρὸς[17] Φαραώ,[18] μᾶλλον ἑλόμενος[19] συγκακουχεῖσθαι[20] τῷ 25
λαῷ τοῦ θεοῦ ἢ πρόσκαιρον[21] ἔχειν ἁμαρτίας ἀπόλαυσιν:[22] μείζονα 26
πλοῦτον[23] ἡγησάμενος[24] τῶν Αἰγύπτου[25] θησαυρῶν[26] τὸν ὀνειδισμὸν[27]
τοῦ χριστοῦ: ἀπέβλεπεν[28] γὰρ εἰς τὴν μισθαποδοσίαν.[29] Πίστει 27
κατέλιπεν[30] Αἴγυπτον,[25] μὴ φοβηθεὶς τὸν θυμὸν[31] τοῦ βασιλέως: τὸν
γὰρ ἀόρατον[32] ὡς ὁρῶν ἐκαρτέρησεν.[33] Πίστει πεποίηκεν τὸ Πάσχα[34] 28
καὶ τὴν πρόσχυσιν[35] τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων[36] τὰ

[1] μονογενής, only begotten, only. [2] ἀναδέχομαι, undertake, receive. [3] ὅθεν, from where, from which. [4] κομίζω, receive, bring. [5] ἄκρον, ου, τό, high point, boundary. [6] ῥάβδος, ου, ἡ, staff, rod. [7] τελευτάω, die, end. [8] ἔξοδος, ου, ἡ, departure, exodus. [9] μνημονεύω, remember, make mention of. [10] ὀστέον, τό, bone. [11] ἐντέλλομαι, command, give orders. [12] κρύπτω, conceal, hide. [13] τρίμηνος, of three months, lasting three months. [14] διότι, because, on this account. [15] ἀστεῖος, handsome, well-bred. [16] διάταγμα, τος, τό, edict, command. [17] θυγάτηρ, τρος, ἡ, daughter. [18] Φαραώ, ὁ, Pharaoh. [19] αἱρέω, choose, prefer. [20] συγκακουχέω, suffer ill-treatment with. [21] πρόσκαιρος, temporary, passing. [22] ἀπόλαυσις, εως, ἡ, enjoyment. [23] πλοῦτος, ου, ὁ, wealth, riches. [24] ἡγέομαι, lead, be chief. [25] Αἴγυπτος, ου, ἡ, Egypt. [26] θησαυρός, οῦ, ὁ, storehouse, treasure. [27] ὀνειδισμός, οῦ, ὁ, reproach, reviling. [28] ἀποβλέπω, look, pay attention. [29] μισθαποδοσία, ας, ἡ, recompense, reward. [30] καταλείπω, leave, leave behind. [31] θυμός, ου, ὁ, wrath, outburst of passion. [32] ἀόρατος, invisible, unseen. [33] καρτερέω, be steadfast, endure. [34] πάσχα, τό, passover, passover feast. [35] πρόσχυσις, εως, ἡ, pouring, sprinkling. [36] ὀλοθρεύω, destroy, ruin.

πρωτότοκα[1] θίγῃ[2] αὐτῶν. Πίστει διέβησαν[3] τὴν Ἐρυθρὰν[4] θάλασσαν 29
ὡς διὰ ξηρᾶς:[5] ἧς πεῖραν[6] λαβόντες οἱ Αἰγύπτιοι[7] κατεπόθησαν.[8] 30
Πίστει τὰ τείχη[9] Ἰεριχὼ ἔπεσεν, κυκλωθέντα[10] ἐπὶ ἑπτὰ ἡμέρας. 31
Πίστει Ῥαὰβ ἡ πόρνη[11] οὐ συναπώλετο[12] τοῖς ἀπειθήσασιν,[13]
δεξαμένη τοὺς κατασκόπους[14] μετ' εἰρήνης. Καὶ τί ἔτι λέγω; 32
Ἐπιλείψει[15] γάρ με διηγούμενον[16] ὁ χρόνος περὶ Γεδεών,[17] Βαράκ[18] τε
καὶ Σαμψὼν καὶ Ἰεφθάε,[19] Δαυίδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν:
οἳ διὰ πίστεως κατηγωνίσαντο[20] βασιλείας, εἰργάσαντο δικαιοσύνην, 33
ἐπέτυχον[21] ἐπαγγελιῶν, ἔφραξαν[22] στόματα λεόντων,[23] ἔσβεσαν[24] 34
δύναμιν πυρός, ἔφυγον[25] στόματα μαχαίρας,[26] ἐνεδυναμώθησαν[27] ἀπὸ
ἀσθενείας,[28] ἐγενήθησαν ἰσχυροὶ[29] ἐν πολέμῳ,[30] παρεμβολὰς[31]
ἔκλιναν[32] ἀλλοτρίων.[33] Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς 35
νεκροὺς αὐτῶν: ἄλλοι δὲ ἐτυμπανίσθησαν,[34] οὐ προσδεξάμενοι[35] τὴν
ἀπολύτρωσιν,[36] ἵνα κρείττονος[37] ἀναστάσεως τύχωσιν:[38] ἕτεροι δὲ 36
ἐμπαιγμῶν[39] καὶ μαστίγων[40] πεῖραν[6] ἔλαβον, ἔτι δὲ δεσμῶν[41] καὶ
φυλακῆς: ἐλιθάσθησαν,[42] ἐπρίσθησαν,[43] ἐπειράσθησαν, ἐν φόνῳ[44] 37
μαχαίρας[26] ἀπέθανον: περιῆλθον[45] ἐν μηλωταῖς,[46] ἐν αἰγείοις[47]
δέρμασιν,[48] ὑστερούμενοι,[49] θλιβόμενοι,[50] κακουχούμενοι[51] – ὧν οὐκ 38

[1] πρωτότοκος, first-born. [2] θιγγάνω, touch, handle. [3] διαβαίνω, go through, cross. [4] ἐρυθρός, red. [5] ξηρός, dry, withered. [6] πεῖρα, ας, ἡ, attempt, trial. [7] Αἰγύπτιος, Egyptian. [8] καταπίνω, drink down, swallow. [9] τεῖχος, ους, τό, wall. [10] κυκλόω, encircle, surround. [11] πόρνη, ης, ἡ, prostitute. [12] συναπόλλυμι, destroy with, perish along with. [13] ἀπειθέω, disbelieve, disobey. [14] κατάσκοπος, ου, ὁ, spy. [15] ἐπιλείπω, fail, fall short. [16] διηγέομαι, relate fully, relate in full. [17] Γεδεών, ὁ, Gideon. [18] Βαράκ, ὁ, Barak. [19] Ἰεφθάε, ὁ, Jephthah. [20] καταγωνίζομαι, conquer, defeat. [21] ἐπιτυγχάνω, obtain, attain. [22] φράσσω, stop, shut. [23] λέων, οντος, ὁ, lion. [24] σβέννυμι, quench, extinguish. [25] φεύγω, flee, escape. [26] μάχαιρα, ης, ἡ, sword. [27] ἐνδυναμόω, strengthen, empower. [28] ἀσθένεια, ας, ἡ, weakness, sickness. [29] ἰσχυρός, strong, mighty. [30] πόλεμος, ου, ὁ, war, battle. [31] παρεμβολή, ῆς, ἡ, camp, army. [32] κλίνω, cause to bend, bow. [33] ἀλλότριος, strange, foreign. [34] τυμπανίζω, torment, torture. [35] προσδέχομαι, receive, wait for. [36] ἀπολύτρωσις, εως, ἡ, redemption, deliverance. [37] κρείττων, stronger, more excellent. [38] τυγχάνω, obtain, happen. [39] ἐμπαιγμός, οῦ, ὁ, scorn, mocking. [40] μάστιξ, ιγος, ἡ, whip, scourge. [41] δεσμός, οῦ, ὁ, chain, bond. [42] λιθάζω, throw stones, stone. [43] πρίζω, saw (in two), saw. [44] φόνος, ου, ὁ, murder, slaughter. [45] περιέρχομαι, go about, go around. [46] μηλωτή, ῆς, ἡ, sheepskin. [47] αἴγειος, of a goat. [48] δέρμα, τος, τό, skin, hide. [49] ὑστερέω, lack, need. [50] θλίβω, press, oppress. [51] κακουχέω, treat evilly.

ἦν ἄξιος ὁ κόσμος – ἐν ἐρημίαις[1] πλανώμενοι καὶ ὄρεσιν καὶ
σπηλαίοις[2] καὶ ταῖς ὀπαῖς[3] τῆς γῆς. Καὶ οὗτοι πάντες, μαρτυρηθέντες 39
διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο[4] τὴν ἐπαγγελίαν, τοῦ θεοῦ περὶ 40
ἡμῶν κρεῖττόν[5] τι προβλεψαμένου,[6] ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

Τοιγαροῦν[8] καὶ ἡμεῖς, τοσοῦτον[9] ἔχοντες περικείμενον[10] ἡμῖν νέφος[11] **12**
μαρτύρων, ὄγκον[12] ἀποθέμενοι[13] πάντα καὶ τὴν εὐπερίστατον[14]
ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν[15] τὸν προκείμενον[16] ἡμῖν ἀγῶνα,[17] 2
ἀφορῶντες[18] εἰς τὸν τῆς πίστεως ἀρχηγὸν[19] καὶ τελειωτὴν[20] Ἰησοῦν,
ὅς, ἀντὶ[21] τῆς προκειμένης[16] αὐτῷ χαρᾶς, ὑπέμεινεν[22] σταυρόν,[23]
αἰσχύνης[24] καταφρονήσας,[25] ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ
κεκάθικεν. Ἀναλογίσασθε[26] γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα[22] ὑπὸ 3
τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν,[27] ἵνα μὴ κάμητε[28] ταῖς ψυχαῖς
ὑμῶν ἐκλυόμενοι.[29] Οὔπω[30] μέχρι[31] αἵματος ἀντικατέστητε[32] πρὸς 4
τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι:[33] καὶ ἐκλέλησθε[34] τῆς παρακλήσεως, 5
ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται,[36] Υἱέ μου, μὴ ὀλιγώρει[37] παιδείας[38]
κυρίου, μηδὲ ἐκλύου[29] ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος:[39] ὃν γὰρ ἀγαπᾷ κύριος 6
παιδεύει:[40] μαστιγοῖ[41] δὲ πάντα υἱὸν ὃν παραδέχεται.[42] Εἰς παιδείαν[38] 7

[1] ἐρημία, ας, ἡ, wilderness, desert. [2] σπήλαιον, ου, τό, cave, den. [3] ὀπή, ῆς, ἡ, opening, hole. [4] κομίζω, receive, bring. [5] κρείττων, stronger, more excellent. [6] προβλέπομαι, foresee, provide. [7] τελειόω, fill, fulfill. [8] τοιγαροῦν, consequently, therefore. [9] τοσοῦτος, so great, so much. [10] πέρικειμαι, be around, surround. [11] νέφος, ους, τό, cloud, multitude. [12] ὄγκος, ου, ὁ, bulk, encumbrance. [13] ἀποτίθημι, put off, lay aside. [14] εὐπερίστατος, easily ensnaring, easily entangling. [15] τρέχω, run, exercise myself. [16] πρόκειμαι, be set before, be exhibited. [17] ἀγών, ῶνος, ὁ, struggle, fight. [18] ἀφοράω, fix one's eyes, see. [19] ἀρχηγός, οῦ, ὁ, founder, leader. [20] τελειωτής, οῦ, ὁ, perfecter, completer. [21] ἀντί, instead of, in place of. [22] ὑπομένω, tarry, endure. [23] σταυρός, οῦ, ὁ, cross. [24] αἰσχύνη, ης, ἡ, shame. [25] καταφρονέω, think little of, despise. [26] ἀναλογίζομαι, consider, think upon. [27] ἀντιλογία, ας, ἡ, dispute, contradiction. [28] κάμνω, be weary, ill. [29] ἐκλύω, am unstrung, become weak. [30] οὔπω, not yet. [31] μέχρι, until, as far as (gen). [32] ἀντικαθίστημι, oppose, resist. [33] ἀνταγωνίζομαι, struggle, strive. [34] ἐκλανθάνομαι, forget (altogether), forget entirely. [35] παράκλησις, εως, ἡ, exhortation, consolation. [36] διαλέγομαι, dispute, reason. [37] ὀλιγωρέω, regard lightly, despise. [38] παιδεία, ας, ἡ, training, discipline. [39] ἐλέγχω, convict, reprove. [40] παιδεύω, teach, educate. [41] μαστιγόω, whip, lash. [42] παραδέχομαι, receive, accept.

ὑπομένετε,[1] ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός: τίς γάρ ἐστιν υἱὸς ὃν
οὐ παιδεύει[2] πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας,[3] ἧς μέτοχοι[4] γεγόνασιν 8
πάντες, ἄρα νόθοι[5] ἐστὲ καὶ οὐχ υἱοί. Εἶτα[6] τοὺς μὲν τῆς σαρκὸς 9
ἡμῶν πατέρας εἴχομεν παιδευτάς,[7] καὶ ἐνετρεπόμεθα:[8] οὐ πολλῷ
μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Οἱ 10
μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον:[2] ὁ δὲ
ἐπὶ τὸ συμφέρον,[9] εἰς τὸ μεταλαβεῖν[10] τῆς ἁγιότητος[11] αὐτοῦ. Πᾶσα 11
δὲ παιδεία[3] πρὸς μὲν τὸ παρὸν[12] οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης:[13]
ὕστερον[14] δὲ καρπὸν εἰρηνικὸν[15] τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις[16]
ἀποδίδωσιν δικαιοσύνης. Διὸ τὰς παρειμένας[17] χεῖρας καὶ τὰ 12
παραλελυμένα[18] γόνατα[19] ἀνορθώσατε:[20] καὶ τροχιὰς[21] ὀρθὰς[22] 13
ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν[23] ἐκτραπῇ,[24] ἰαθῇ[25] δὲ
μᾶλλον.

Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν,[26] οὗ χωρὶς οὐδεὶς 14
ὄψεται τὸν κύριον: ἐπισκοποῦντες[27] μή τις ὑστερῶν[28] ἀπὸ τῆς 15
χάριτος τοῦ θεοῦ: μή τις ῥίζα[29] πικρίας[30] ἄνω[31] φύουσα[32] ἐνοχλῇ,[33] καὶ
διὰ ταύτης μιανθῶσιν[34] πολλοί: μή τις πόρνος,[35] ἢ βέβηλος,[36] ὡς 16
Ἠσαῦ, ὃς ἀντὶ[37] βρώσεως[38] μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια[39] αὐτοῦ. 17

[1] ὑπομένω, tarry, endure. [2] παιδεύω, teach, educate. [3] παιδεία, ας, ἡ, training, discipline. [4] μέτοχος, ου, ὁ, partaker, partner. [5] νόθος, illegitimate child, illegitimate. [6] εἶτα, then, thereafter. [7] παιδευτής, οῦ, ὁ, instructor, one who disciplines. [8] ἐντρέπω, turn about, reverence. [9] συμφέρω, bring together, it is profitable. [10] μεταλαμβάνω, partake of, share. [11] ἁγιότης, ητος, ἡ, holiness. [12] πάρειμι, be present, have arrived. [13] λύπη, ης, ἡ, pain, grief. [14] ὕστερον, lastly, afterward. [15] εἰρηνικός, peaceable, peaceful. [16] γυμνάζω, train, undergo discipline. [17] παρίημι, neglect, weaken. [18] παραλύω, relax, enfeeble. [19] γόνυ, ατος, τό, knee. [20] ἀνορθόω, restore, strengthen. [21] τροχιά, ᾶς, ἡ, wheel-track, path. [22] ὀρθός, straight, upright. [23] χωλός, lame, deprived of a foot. [24] ἐκτρέπω, turn aside, wander. [25] ἰάομαι, heal. [26] ἁγιασμός, οῦ, ὁ, consecration, holiness. [27] ἐπισκοπέω, look upon, oversee. [28] ὑστερέω, lack, need. [29] ῥίζα, ης, ἡ, root, that which grows from the root. [30] πικρία, ας, ἡ, bitterness. [31] ἄνω, up, above. [32] φύω, grow up, spring up. [33] ἐνοχλέω, trouble, annoy. [34] μιαίνω, stain, defile. [35] πόρνος, ου, ὁ, fornicator, immoral person. [36] βέβηλος, worldly, profane. [37] ἀντί, instead of, in place of. [38] βρῶσις, εως, ἡ, eating, food. [39] πρωτοτόκια, ων, τό, birthright.

Ἴστε γὰρ ὅτι καὶ μετέπειτα,[1] θέλων κληρονομῆσαι[2] τὴν εὐλογίαν,[3]
ἀπεδοκιμάσθη:[4] μετανοίας[5] γὰρ τόπον οὐχ εὗρεν, καίπερ[6] μετὰ
δακρύων[7] ἐκζητήσας[8] αὐτήν.

Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ[9] ὄρει, καὶ κεκαυμένῳ[10] πυρί, καὶ 18
γνόφῳ,[11] καὶ σκότῳ, καὶ θυέλλῃ,[12] καὶ σάλπιγγος[13] ἤχῳ,[14] καὶ φωνῇ 19
ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο[15] μὴ προστεθῆναι[16] αὐτοῖς
λόγον: οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον,[17] Κἂν[18] θηρίον θίγῃ[19] τοῦ 20
ὄρους, λιθοβοληθήσεται:[20] καί, οὕτως φοβερὸν[21] ἦν τὸ φανταζόμενον, 21
Μωϋσῆς εἶπεν, Ἔκφοβός[23] εἰμι καὶ ἔντρομος.[24] Ἀλλὰ 22
προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ
ἐπουρανίῳ,[25] καὶ μυριάσιν[26] ἀγγέλων, πανηγύρει[27] καὶ ἐκκλησίᾳ 23
πρωτοτόκων[28] ἐν οὐρανοῖς ἀπογεγραμμένων,[29] καὶ κριτῇ[30] θεῷ
πάντων, καὶ πνεύμασιν δικαίων τετελειωμένων,[31] καὶ διαθήκης νέας 24
μεσίτῃ[33] Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ[34] κρεῖττον[35] λαλοῦντι παρὰ
τὸν Ἄβελ. Βλέπετε μὴ παραιτήσησθε[15] τὸν λαλοῦντα. Εἰ γὰρ ἐκεῖνοι 25
οὐκ ἔφυγον,[36] τὸν ἐπὶ γῆς παραιτησάμενοι[15] χρηματίζοντα,[37] πολλῷ
μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι:[38] οὗ ἡ φωνὴ τὴν 26
γῆν ἐσάλευσεν[39] τότε, νῦν δὲ ἐπήγγελται,[40] λέγων, Ἔτι ἅπαξ[41] ἐγὼ

[1] μετέπειτα, afterwards. [2] κληρονομέω, inherit, obtain. [3] εὐλογία, ας, ἡ, blessing, adulation. [4] ἀποδοκιμάζω, reject, reject after testing. [5] μετάνοια, ας, ἡ, repentance, change of mind. [6] καίπερ, although. [7] δάκρυον, ου, τό, teardrop, a tear. [8] ἐκζητέω, seek out, inquire. [9] ψηλαφάω, touch, handle. [10] καίω, burn, ignite. [11] γνόφος, ου, ὁ, darkness, gloom. [12] θύελλα, ης, ἡ, storm, whirlwind. [13] σάλπιγξ, ιγγος, ἡ, trumpet. [14] ἦχος, ους, ὁ, noise, sound. [15] παραιτέομαι, make excuse, refuse. [16] προστίθημι, add, add to. [17] διαστέλλομαι, set apart, fig. to distinguish. [18] κἄν, and if, even if. [19] θιγγάνω, touch, handle. [20] λιθοβολέω, pelt with stones, stone. [21] φοβερός, fearful, terrible. [22] φαντάζω, cause to appear. [23] ἔκφοβος, terrified, greatly terrified. [24] ἔντρομος, terrified, trembling. [25] ἐπουράνιος, heavenly, celestial. [26] μυριάς, άδος, ἡ, ten thousand, myriad. [27] πανήγυρις, εως, ἡ, festive gathering, festival assembly. [28] πρωτότοκος, first-born. [29] ἀπογράφω, register, enroll. [30] κριτής, ου, ὁ, judge. [31] τελειόω, fill, fulfill. [32] νέος, new, young. [33] μεσίτης, ου, ὁ, mediator, go-between. [34] ῥαντισμός, οῦ, ὁ, sprinkling, purification. [35] κρείττων, stronger, more excellent. [36] φεύγω, flee, escape. [37] χρηματίζω, instruct, reveal. [38] ἀποστρέφω, turn away, turn back. [39] σαλεύω, shake, excite. [40] ἐπαγγέλλομαι, promise, profess. [41] ἅπαξ, once, once for all.

σείω[1] οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. Τὸ δέ, Ἔτι ἅπαξ,[2] 27
δηλοῖ[3] τῶν σαλευομένων[4] τὴν μετάθεσιν,[5] ὡς πεποιημένων, ἵνα μείνῃ
τὰ μὴ σαλευόμενα.[4] Διὸ βασιλείαν ἀσάλευτον[6] παραλαμβάνοντες, 28
ἔχωμεν χάριν, δι᾽ ἧς λατρεύομεν[7] εὐαρέστως[8] τῷ θεῷ μετὰ αἰδοῦς[9]
καὶ εὐλαβείας:[10] καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον.[11] 29

Ἡ φιλαδελφία[12] μενέτω. Τῆς φιλοξενίας[13] μὴ ἐπιλανθάνεσθε:[14] διὰ **13**
ταύτης γὰρ ἔλαθόν[15] τινες ξενίσαντες[16] ἀγγέλους. Μιμνῄσκεσθε[17] τῶν 3
δεσμίων,[18] ὡς συνδεδεμένοι:[19] τῶν κακουχουμένων,[20] ὡς καὶ αὐτοὶ
ὄντες ἐν σώματι. Τίμιος[21] ὁ γάμος[22] ἐν πᾶσιν, καὶ ἡ κοίτη[23] ἀμίαντος:[24] 4
πόρνους[25] δὲ καὶ μοιχοὺς[26] κρινεῖ ὁ θεός. Ἀφιλάργυρος[27] ὁ τρόπος,[28] 5
ἀρκούμενοι[29] τοῖς παροῦσιν:[30] αὐτὸς γὰρ εἴρηκεν, Οὐ μή σε ἀνῶ,[31]
οὐδ᾽ οὐ μή σε ἐγκαταλείπω.[32] Ὥστε θαρροῦντας[33] ἡμᾶς λέγειν, 6
Κύριος ἐμοὶ βοηθός,[34] καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

Μνημονεύετε[35] τῶν ἡγουμένων[36] ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν 7
λόγον τοῦ θεοῦ: ὧν ἀναθεωροῦντες[37] τὴν ἔκβασιν[38] τῆς ἀναστροφῆς,[39]
μιμεῖσθε[40] τὴν πίστιν. Ἰησοῦς χριστὸς χθὲς[41] καὶ σήμερον ὁ αὐτός, 8
καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις[42] καὶ ξέναις[43] μὴ 9

[1] σείω, shake. [2] ἅπαξ, once, once for all. [3] δηλόω, show, make clear. [4] σαλεύω, shake, excite. [5] μετάθεσις, εως, ἡ, change, removal. [6] ἀσάλευτος, immovable, unshakable. [7] λατρεύω, serve, worship. [8] εὐαρέστως, acceptably. [9] αἰδώς, οῦς, ἡ, modesty, shame. [10] εὐλάβεια, ας, ἡ, awe, reverence. [11] καταναλίσκω, consume, consume utterly. [12] φιλαδελφία, ας, ἡ, love of brothers, brotherly love. [13] φιλοξενία, ας, ἡ, hospitality. [14] ἐπιλανθάνομαι, forget, neglect. [15] λανθάνω, escape notice, am hidden. [16] ξενίζω, entertain (a stranger), startle. [17] μιμνήσκομαι, remember, recall. [18] δέσμιος, ου, ὁ, prisoner, one bound. [19] συνδέω, bind together. [20] κακουχέω, treat evilly. [21] τίμιος, precious, honorable. [22] γάμος, ου, ὁ, marriage, wedding. [23] κοίτη, ης, ἡ, bed, sexual promiscuity. [24] ἀμίαντος, undefiled, untainted. [25] πόρνος, ου, ὁ, fornicator, immoral person. [26] μοιχός, οῦ, ὁ, adulterer. [27] ἀφιλάργυρος, free from the love of money. [28] τρόπος, ου, ὁ, manner, way. [29] ἀρκέω, assist, suffice. [30] πάρειμι, be present, have arrived. [31] ἀνίημι, give up, loosen. [32] ἐγκαταλείπω, leave behind, forsake. [33] θαρρέω, of good courage, have confidence. [34] βοηθός, οῦ, ὁ, helping, helper. [35] μνημονεύω, remember, make mention of. [36] ἡγέομαι, lead, be chief. [37] ἀναθεωρέω, observe carefully, examine. [38] ἔκβασις, εως, ἡ, outcome, way out. [39] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [40] μιμέομαι, imitate, emulate. [41] χθές, yesterday. [42] ποικίλος, varied, manifold. [43] ξένος, strange, stranger.

παραφέρεσθε:[1] καλὸν γὰρ χάριτι βεβαιοῦσθαι[2] τὴν καρδίαν, οὐ
βρώμασιν,[3] ἐν οἷς οὐκ ὠφελήθησαν[4] οἱ περιπατήσαντες. Ἔχομεν 10
θυσιαστήριον,[5] ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ[6]
λατρεύοντες.[7] Ὧν γὰρ εἰσφέρεται[8] ζῴων[9] τὸ αἷμα περὶ ἁμαρτίας εἰς 11
τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται[10] ἔξω τῆς
παρεμβολῆς.[11] Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ[12] διὰ τοῦ ἰδίου αἵματος 12
τὸν λαόν, ἔξω τῆς πύλης[13] ἔπαθεν. Τοίνυν[14] ἐξερχώμεθα πρὸς αὐτὸν 13
ἔξω τῆς παρεμβολῆς,[11] τὸν ὀνειδισμὸν[15] αὐτοῦ φέροντες. Οὐ γὰρ 14
ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.[16] Δι’ 15
αὐτοῦ οὖν ἀναφέρωμεν[17] θυσίαν[18] αἰνέσεως[19] διὰ παντὸς τῷ θεῷ,
τοῦτ’ ἔστιν, καρπὸν χειλέων[20] ὁμολογούντων[21] τῷ ὀνόματι αὐτοῦ. 16
Τῆς δὲ εὐποιΐας[22] καὶ κοινωνίας[23] μὴ ἐπιλανθάνεσθε:[24] τοιαύταις γὰρ
θυσίαις[18] εὐαρεστεῖται[25] ὁ θεός. Πείθεσθε τοῖς ἡγουμένοις[26] ὑμῶν, καὶ 17
ὑπείκετε:[27] αὐτοὶ γὰρ ἀγρυπνοῦσιν[28] ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς
λόγον ἀποδώσοντες: ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν, καὶ μὴ
στενάζοντες:[29] ἀλυσιτελὲς[30] γὰρ ὑμῖν τοῦτο.

Προσεύχεσθε περὶ ἡμῶν: πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, 18
ἐν πᾶσιν καλῶς θέλοντες ἀναστρέφεσθαι.[31] Περισσοτέρως[32] δὲ 19

[1] παραφέρω, carry away, remove. [2] βεβαιόω, confirm, secure. [3] βρῶμα, τος, τό, food, food of any kind. [4] ὠφελέω, profit, help. [5] θυσιαστήριον, ου, τό, altar. [6] σκηνή, ῆς, ἡ, tent, tabernacle. [7] λατρεύω, serve, worship. [8] εἰσφέρω, carry inward, bring in. [9] ζῷον, ου, τό, living creature, animal. [10] κατακαίω, burn up, consume entirely. [11] παρεμβολή, ῆς, ἡ, camp, army. [12] ἁγιάζω, make holy, consecrate. [13] πύλη, ης, ἡ, gate, porch. [14] τοίνυν, accordingly, therefore. [15] ὀνειδισμός, οῦ, ὁ, reproach, reviling. [16] ἐπιζητέω, seek for, seek after. [17] ἀναφέρω, bring up, offer. [18] θυσία, ας, ἡ, sacrifice. [19] αἴνεσις, εως, ἡ, praise. [20] χεῖλος, ους, τό, lip, edge. [21] ὁμολογέω, confess, profess. [22] εὐποιΐα, ας, ἡ, doing of good. [23] κοινωνία, ας, ἡ, fellowship, contribution. [24] ἐπιλανθάνομαι, forget, neglect. [25] εὐαρεστέω, be pleasing, pleased. [26] ἡγέομαι, lead, be chief. [27] ὑπείκω, yield, give way. [28] ἀγρυπνέω, sleepless, watchful. [29] στενάζω, groan (internally), sigh deeply. [30] ἀλυσιτελής, unprofitable, profitless. [31] ἀναστρέφω, return, live. [32] περισσῶς, abundantly, exceedingly.

παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον[1] ἀποκατασταθῶ[2] ὑμῖν.

Ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν[3] ἐκ νεκρῶν τὸν ποιμένα[4] τῶν 20
προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν κύριον ἡμῶν
Ἰησοῦν, καταρτίσαι[5] ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ 21
θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον[6] ἐνώπιον αὐτοῦ, διὰ
Ἰησοῦ χριστοῦ: ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε[7] τοῦ λόγου τῆς παρακλήσεως:[8] 22
καὶ γὰρ διὰ βραχέων[9] ἐπέστειλα[10] ὑμῖν. Γινώσκετε τὸν ἀδελφὸν 23
Τιμόθεον[11] ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον[1] ἔρχηται, ὄψομαι
ὑμᾶς.

Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους[12] ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. 24
Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.[13]

Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν. 25

[1] τάχιον, more swiftly. [2] ἀποκαθίστημι, restore, give back. [3] ἀνάγω, lead up, restore. [4] ποιμήν, ένος, ὁ, shepherd. [5] καταρτίζω, mend, fit. [6] εὐάρεστος, well-pleasing, acceptable. [7] ἀνέχομαι, endure, bear with. [8] παράκλησις, εως, ἡ, exhortation, consolation. [9] βραχύς, short, little. [10] ἐπιστέλλω, write, instruct by letter. [11] Τιμόθεος, ου, ὁ, Timothy. [12] ἡγέομαι, lead, be chief. [13] Ἰταλία, ας, ἡ, Italy.